meipſum à theatris per ſummam ſtultitiam, neque in aulam admitto ſcenam, niſi anni principio, præ animi mei ſtupore, tanquam pauper agricola tributum aliquod pendens iniquo domino: ac tum quoque, cúm illuc introivi, ſimilior ſum deteſtãti eos ludos, quàm ſpectanti. Iam veró nullæ ſunt mihi poſſeſſiones, cúm tamen rex magnus toto orbe appeller, tãquam præfectus vel dux, qui in ſolos hiſtriones & aurigas imperium habeat. Quod cúm vos pauló anté videretis, adoleſcentiæ illius meæ, & ingenii ac mentis memoriam nunc mihi objicitis: etſi jam tum fortaſſis illa gravis & acerba erat, magnaque ac manifeſta acerbitatis meæ ſigna oſtendebat. Veruntamen attendite, magis eſt novum & admirabile quod dicã; Semper odi Circẽſes, perinde ut forum, qui obſtricti ſunt ære alieno. Itaque raró ad eos venio, nempe in Deorum feriis, neque ibi diem conſumo, quod meus [c]patruelis, avũculus, & germanus ex patre faciebãt: ſed ſpectato ſexto feré curſu, neque id magna cum voluptate, imó hercle cum moleſtia & faſtidio, libens

[c] *Conſtantius, Julianus, Gallus.*

diſcedo. Sed de externis hactenus. Quanquam quota pars á me dicta eſt mearum erga vos injuriarum? Domeſtica autem, noctes inſomnes in ſtragulo, & victus extra ſatietatem, mores acerbos efficiunt, & delicatæ urbi repugnãtes. Nolite tamen exiſtimare veſtra cauſſa id á me fieri: gravis quidam & ſtultus error jam inde á puero me induxit, ut ventri bellum facerem. Neque enim eum permitto epulis expleri. Itaque rariſſimé omnium mihi contigit vomere: & memini id mihi accidiſſe ex quo Cæſar ſum factus ſemel tantúm, neque id cibi copia, ſed caſu. [7] Commodum autem fuerit hiſtoriam recenſere, non quód eam admodum fore jucundam exiſtimem, ſed quód mihi propterea mirificé conveniat. Ego olim eram in hybernis apud charam Lutetiam (ſic enim Galli Pariſiorum oppidum appellant) quæ inſula eſt non magna, fluvio imminens, qui eam omni ex parte cingit. Pontes ſublicii utrinque ad eam ferunt, raroque fluvius minuitur ac creſcit,

[7] Digreſſio de vomitu Juliani, & urbe Lutetia.

ſed

ἀπαλλάττομαι. ἀλλὰ τὰ μὲν ἔξω ταῦτα. Καίτοι πόσον εἴρηταί μοι μέρος τῶν ἐμῶν εἰς ὑμᾶς ἀδικημάτων; τὰ δὲ ἔνδον, ἄγρυπνοι νύκτες ἐν στιβάδι, καὶ τροφὴ παντὸς ἥττων κόρου, πικρὸν ἦθος ποιεῖ, καὶ τρυφώσῃ πόλει πολέμιον. οὐ μὴν ὑμῶν γε ἕνεκα τοῦτο ἐπιτηδεύεται παρ᾽ ἐμοῦ. δεινὴ δέ τις ἐκ παιδαρίου με καὶ ἀνόητος ἀπάτη περιλαβοῦσα, τῇ γαστρὶ πολεμεῖν ἔπεισεν. οὐ γὰρ ἐπιτρέπω πολλῶν ἐμπίμπλασθαι σιτίων αὐτῇ. ὀλιγάκις οὖν ἐμοὶ τῶν πάντων ἐμέσαι συνέβη. καὶ μέμνημαι αὐτὸ παθὼν ἐξ ὅτου Καῖσαρ ἐγενόμην ἅπαξ ἀπὸ συμπτώματος, οὐχὶ πλησμονῆς. ἄξιον δὲ ὑπομνησθῆναι διηγήματος, οὐδὲ αὐτοῦ πάνυ χαρίεντος, ἐμοὶ δὲ διὰ τοῦτο μάλιστα οἰκείου. ἐτύγχανον ἐγὼ* χειμάζων περὶ τὴν φίλην Λουκετίαν· ὀνομάζουσι δὲ οὕτως οἱ Κελτοὶ τῶν Παρισίων τὴν πολίχνην· ἔστι δ᾽ οὐ μεγάλη νῆσος ἐγκειμένη τῷ ποταμῷ, καὶ αὐτὴν κύκλῳ πᾶσαν καταλαμβάνει. ξύλιναι δ᾽ ἐπ᾽ αὐτὴν ἀμφοτέρωθεν εἰσάγουσι γέφυραι, καὶ ὀλιγάκις ὁ ποταμὸς ἐλαττοῦται καὶ μεῖζον γίνεται· τὰ

*γρ. κοιμάζων

πολλὰ δ' ἐστὶν ὁποῖος ὥρα θέρους καὶ χειμῶνος· ὕδωρ ἥδιστον καὶ καθαρώτατον ὁρᾶν καὶ πίνειν ἐθέλοντι παρέχον. ἅτε γὰρ νῆσον οἰκοῦντας ὑδρεύεσθαι μάλιστα ἔνθεν χρή. γίνεται δὲ ὁ χειμὼν ἐκεῖ πρᾳότατος ὑπὸ τῆς θέρμης· ὥς φασι τοῦ ὠκεανοῦ. στάδια γὰρ ἀπέχει τῶν ἐνακοσίων οὐ πλείω. καὶ διαδίδοται τυχὸν λεπτή τις αὔρα τοῦ ὕδατος. εἶναι δὲ δοκεῖ θερμότερον τὸ θαλάττιον τοῦ γλυκέος. εἴτε οὖν ἐκ ταύτης, εἴτε ἔκ τινος ἄλλης αἰτίας ἀφανοῦς ἐμοὶ, τὸ πρᾶγμά ἐστι τοιοῦτον· ἀλεεινότερον ἔχουσιν οἱ τὸ χωρίον οἰκοῦντες τὸν χειμῶνα. καὶ φύεται παρ' αὐτοῖς ἄμπελος ἀγαθὴ, καὶ συκᾶς ἤδη τινές εἰσιν οἳ ἐμηχανήσαντο, σκεπάζοντες αὐτὰς τοῦ χειμῶνος, ὥσπερ ἱματίοις τῇ καλάμῃ τοῦ πυροῦ, καὶ τοιούτοις τισὶν, ὅσα εἴωθεν εἴργειν τὴν ἐκ τοῦ ἀέρος ἐπιγιγνομένην τοῖς δένδρεσι βλάβην. ἐγένετο δὴ οὖν ὁ χειμὼν τοῦ εἰωθότος σφοδρότερος, καὶ παρέφερεν ὁ ποταμὸς ὥσπερ μαρμάρου πλάκας· ἴστε δήπου τὸν Φρύγιον λίθον, ᾧ ἐῴκει μάλιστα τοῦ λευκοῦ τούτου τὰ κρύσταλλα μεγάλα, καὶ ἐπάλ-

λληλα

ſed qualis æſtate, talis ſolet eſſe hyeme. Aqua eſt jucundiſſima, & aſpectu puriſſima, ex eaque illi bibunt. Nam cúm inſulam habitent, ibi maximé eos aquari neceſſe eſt. Hyems eſt illic placidiſſima propter calorem (ut ajunt) Oceani. [8] Stadia enim abeſt non amplius nongenta, ac fortaſſe quædam tenuis aura illinc diffunditur: videtur autem maritima aqua dulci eſſe calidior. Sive igitur ob hanc cauſſam, ſive aliam mihi ignotam, ita ſe res habet: hyems ejus terræ incolis mitior eſt: præterea vites optimæ illic naſcuntur: quinetiam ficus multi jam arte quadam extulerunt, cúm eas per hyemem calamis tritici tanquam veſtimentis contegerent, & aliis ejuſmodi rebus, quæ cæli injurias arboribus prohibere ſolẽt. Erat tum igitur hyems vehementior quám ſolebat, & fluvius quaſi marmoreas cruſtas advehebat (noſtis lapidem Phrygium, cui perſimiles erant cãdidi iſtius lapidis cruſtæ concretæ, magnæ, & aliæ ex aliis

[8] *Stadiũ (ait Plin. lib. 2. cap. 23.) centum vigintiquinque noſtros efficit paſſus, hoc eſt pedes 625. Itaque nongẽta ſtadia faciẽt 112500. paſſus, id eſt, noſtras leucas 45, ut leuca duo miliaria italica & dimidium præterea cõtineat. Eſt autem hoc juſtum iter tridui.*

aliis labentes) quin etiam fluvium conjuncturæ, & tanquam pontem facturæ videbantur. Cúm igitur in his rebus durior & agreſtior eſſem, quám unquã antea, nequaquam cubiculum in quo requieſcebam, calefieri patiebar, quo modo illic plæraque domicilia ſub caminis calefiunt, cúm tamen ad ignis calorem excipiendũ eſſet opportunum. Quod tum quoque accidit ob meam duritiem, atque in meipſum præcipué, ut veré dicam, inhumanitatem, qui me ad illum aërem tolerandum aſſueſacere volebam, cúm ejus præſidii maximé indigeret. Cumque hyems invaleſceret, atque in dies fieret vehementior, ne tum quidem famulis meis permiſi, ut domicilium calfacerent, veritus ne humorem qui in parietibus erat, commoverem: itaque accenſum ignem, & candentes aliquot carbones inferri juſſi. Hi veró etſi non multi erant, attamen multum vaporem é parietibus excitarunt, á quo cúm caput meum oppletum eſſet, ſomnus me complexus eſt. Ac ſané metui, ne ſuffocarer. Verúm raptus extra cubiculum, medicis

ſua-

λλὰ φερόμενα· καὶ δὴ καὶ συνεχῆ ποιοῦν τὸν πόρον ἔμφραξε, καὶ τὸ ῥεῦμα γεφυροῦν. ὡς οὖν ἐν τούτοις ἀγριώτερος ἦν τοῦ συνήθους, ἐθάλπετο δὲ τὸ δωμάτιον οὐδαμῶς, οὗπερ ἐκάθευδον· ὅνπερ εἰώθει τρόπον ὑπὸ τῶν καμίνοις τὰ πολλὰ τῶν οἰκημάτων ἐκεῖ θερμαίνεσθαι, καὶ ταῦτα ἔχον εὐπρεπῶς πρὸς τὸ παραδέξασθαι τὴν ἐκ πυρὸς ἀλέαν. συνέβη δ' οἶμαι, καὶ τότε διὰ σκαιότητα τὴν ἐμὴν, καὶ τὴν εἰς ἑαυτὸν πρῶτον, ὡς εἰκὸς, ἀπανθρωπίαν· ἐβουλόμην γὰρ ἐμαυτὸν ἐθίζειν ἀνέχεσθαι τὸν ἀέρα ταύτης ἐνδεῶς ἔχοντα τῆς βοηθείας. ὡς δὲ ὁ χειμὼν ἐπεκράτει, καὶ ἀεὶ μείζων ἐπεγίνετο, θερμῆναι μὲν οὐδ' ὣς ἐπέτρεψα τοῖς ὑπηρέταις τὸ οἴκημα, δεδιὼς κινῆσαι τὴν ἐν τοῖς τοίχοις ὑγρότητα, κομίσαι δ' ἔνδον ἐκέλευσα πῦρ κεκαυμένον, καὶ λαμπροὺς ἀποθέσθαι παντελῶς μετρίους· οἱ δὲ καίπερ ὄντες οὐ πολλοὶ, παμπληθῆ ἀπὸ τῶν τοίχων ἀτμὸν ἐκίνησαν, ὑφ' ὧν καὶ κατέδαρθον ἐμπιμπλαμένης μοι τῆς κεφαλῆς. * ἔδεισα μὲν οὖν ἀποπνιγῆ- γρ. ἐδέησα
ναι· κομισθεὶς δ' ἔξω, τῶν ἰατρῶν παραινούν-

των

τῶν ἀπορρίψαι τὴν ἐντεθεῖσαν ἄρτι τέφραν, οὔτι μὰ Δία πολλὴν οὖσαν ἐξέβαλον, καὶ ἐγινόμην αὐτίκα ῥάων, ὥστε μοι γινέσθαι κουφοτέραν τὴν νύκτα, καὶ τῆς ὑστεραίας πράττειν ὅ, τι περ ἂν ἐθέλοιμι. οὕτω μὲν οὖν ἐγὼ ἐν Κελτοῖς κατὰ τὸν τοῦ Μενάνδρου δύσκολον αὐτὸς ἐμαυτῷ πόνους προσετίθουν. ἀλλὰ ἡ κελτῶν μὲν ταῦτα ῥᾷον ἔφερεν ἀγροικία· πόλις δ' εὐδαίμων καὶ μακαρία καὶ πολυάνθρωπος, εἰκότως ἄχθεται, ἐν ᾗ πολλοὶ μὲν ὀρχησταί, πολλοὶ δ' αὐληταί, μῖμοι δὲ πλείους τῶν πολιτῶν, αἰδὼς δ' οὐκ ἔστιν ἀρχόντων. ἐρυθριᾶν γὰρ πρέπει τοῖς ἀνάνδροις, ἐπεὶ τοῖς γε ἀνδρείοις, ὥσπερ ὑμεῖς, ἕωθεν κωμάζειν, νύκτωρ ἡδυπαθεῖν, ὅτι τῶν νόμων ὑπερορᾶτε, μὴ λόγῳ διδάσκειν, ἀλλὰ τοῖς ἔργοις ἐνδείκνυσθαι. καὶ γὰρ οἱ νόμοι φοβεροὶ διὰ τοὺς ἄρχοντας· ὥστε ὅστις ἄρχοντα ὕβρισεν, οὗτος ἐκ περιουσίας τοὺς νόμους κατεπάτησεν. οἱ δ' ἐπὶ τούτοις εὐφραινόμενοι δῆλον ποιεῖτε, πολλαχοῦ μὲν, οὐχ ἥκιστα δ' ἐν ταῖς ἀγοραῖς, καὶ ἐν τοῖς θεάτροις· ἀπὸ μὲν τῶν κρότων, καὶ ἀπὸ

ſuadentibus , ut cibum , quem anteá ſumpſeram , ejicerem , non multum ejeci , neque ſané multus erat : ita me levatum ſenſi , adeó ut & nocte leviore uſus fuerim , & poſtero die ad quidvis agendum paratus . Quare ad hunc modum ego apud Gallos , ſicut ille apud Menandrum[9] Diſcolus, labores novos mihi procreabam . Verúm hoc facilé Gallorum ruſticitas ferebat.[10] At civitas opulenta & florens , & hominum frequentia abundans jure ſuccenſet : in qua ſcilicet multi ſint ſaltatores , multi tibicines , hiſtriones plures quám cives , nulla in principes verecundia. Erubeſcant ſané ignavi : at viri fortes, quales vos eſtis , mane debent comeſſari , noctu voluptati operam dare : leges parum vobis curæ eſſe , non verbis docere , ſed re ac factis demonſtrare. Leges enim principum cauſſa timentur . Quare qui principem violare auſus eſt , is multó etiam magis leges violavit . Quæ vobis voluptati eſſe , cúm alibi ſæpe , tum maximé in foto & theatris oſtenditis : populus , plauſu

[9] Menandri fabula hæc citatur ab Athenæo in Dipnoſophiſtis.

[10] Antapodoſis de Antiochenſium deliciis.

& clamore : magiſtratus, fama & nominis gloria, quam ſumptibus iſtis feriiſque celebrandis multó majorem pepererunt, quám Solon Athenienſis ex illa conſuetudine, quæ ei cum Crœſo rege Lydorum interceſſit : omnes veró ſunt formoſi, proceri, glabri, recens barbati, juvenes & ſenes felicitatem Phæacum imitantur,

Balneaque & veſtes varias, ſtratumque cubile,

recto & honeſto anteponunt. [12] Atque hæc cúm ita ſint, tamen ruſticitatem, inhumanitatem, & duritiam tuam cum his deliciis convenire poſſe exiſtimaſti? Adeone tibi ſtulta eſt & vilis, ô hominum imperitiſſime atque importuniſſime, quæ á clariſſimis viris, dici ſolet, temperans hæc animula, quam tu ornari decorarique temperantia cenſes oportere. In quo ſané vehemẽter erras. Primum enim temperantia quid ſit, neſcimus : nomen ſolũ ejus tenemus, quid ipſa valeat ignoramus. Quod ſi ea talis eſt, qualẽ tu nũc inſtituis, certé hoc ſciemus, Temperãtiam eſſe Diis & legibus ſervire,

[12] Proſopopœia eſt Antiochenſis Julianum accuſantis, ubi aſſũptionis tria capita objiciuntur, quód Julianus cogat Antiochẽſes eſſe tẽperantes, religioſos, & juſtos.

τῆς βοῆς, ὁ δῆμος· οἱ δ' ἐν τέλει, τῷ γνωριμώτεροι μᾶλλον εἶναι καὶ ὀνομάζεσθαι παρὰ πᾶσιν, ἀφ' ὧν εἰς τὰς τοιαύτας ἑορτὰς ἐδαπάνησαν, ἢ Σόλων ὁ Ἀθηναῖος ἀπὸ τῆς πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα συνουσίας. καλοὶ δὲ πάντες, καὶ μεγάλοι, καὶ λεῖοι, καὶ ἀγένειοι, νέοι τε ὁμοίως καὶ πρεσβύτεροι ζηλωταὶ τῆς εὐδαιμονίας τῶν Φαιάκων,

Εἵματά τ' ἐξημοιβὰ, λοετρά τε θερμὰ καὶ εὐνὰς — *Locus est Odyß. θ.*

ἀντὶ τῆς ὁσίας ἀποδεχόμενοι. τὴν δὲ σὴν ἀγροικίαν, καὶ ἀπανθρωπίαν, καὶ σκαιότητα ταύταις ἁρμόσειν ὑπέλαβες; οὕτως ἀνόητόν ἐστί σοι καὶ φαῦλον, ὦ πάντων ἀνθρώπων ἀμαθέστατε καὶ φιλαπεχθημονέστατε τὸ λεγόμενον ὑπὸ τῶν εὐηθεστάτων, σῶφρον τουτὶ ψυχάριον, ὃ δὴ σὺ κοσμεῖν καὶ καλλωπίζειν σωφροσύνῃ χρῆναι νομίζεις, οὐκ ὀρθῶς· ὅτι πρῶτον μὲν ἡ σωφροσύνη τί ποτ' ἐστὶν οὐκ ἴσμεν· ὄνομα δ' αὐτῆς ἀκούοντες μόνον, ἔργον οὐχ ὁρῶμεν. εἰ δὲ ὁποῖον σὺ νῦν ἐπιτηδεύεις ἐστὶν, ἐπίστασθαι μὲν ὅτι θεοῖς χρὴ δουλεύειν καὶ νόμοις·

μοις, ἐκ τῶν ἴσων ἢ τοῖς ὁμοτίμοις προσφέρεσθαι, καὶ τὴν ἐν τούτοις ὑπεροχὴν φέρειν πρᾳότερον· ἐπιμελεῖσθαι καὶ προνοεῖν ὅπως οἱ πένητες ὑπὸ τῶν πλουτούντων ἥκιστα ἀδικήσονται, καὶ ὑπὲρ τούτου πράγματα ἔχειν, ὁποῖα εἰκός ἐστί σοι γίνεσθαι πολλάκις, ἀπεχθείας, ὀργάς, λοιδορίας. εἶτα καὶ ταῦτα φέρειν ἐγκρατῶς, καὶ μὴ χαλεπαίνειν, μηδ' ἐπιτρέπειν τῷ θυμῷ, παιδαγωγεῖν δὲ αὐτόν, ὡς ἐνδέχεται, καὶ σωφρονίζειν. εἰ δὲ καὶ τοῦτό τις ἔργον θοῖτο σωφροσύνης, ἀπέχεσθαι πάσης ἡδονῆς οὐ λίαν εὐπρεποῦς, οὐδ' ἐπονειδίστου δοκούσης, ἐν τῷ φανερῷ, πεπεισμένος ὡς οὐκ ἔστιν ἰδίᾳ σωφρονεῖν οἴκοι καὶ λάθρα, τὸν δημοσίᾳ καὶ φανερῶς ἀκόλαστον εἶναι θέλοντα, καὶ τερπόμενον τοῖς θεάτροις. εἰ δὴ οὖν οὕτως ἡ σωφροσύνη τοιοῦτόν ἐστιν, ἀπόλωλας μὲν αὐτός, ἀπολλύεις δὲ ἡμᾶς οὐκ ἀνεχομένους ἀκούειν πρῶτον ὄνομα δουλείας, οὔτε πρὸς θεούς, οὔτε πρὸς νόμους. ἡδὺ γὰρ ἐν πᾶσι τὸ ἐλεύθερον. ἡ δὲ εἰρωνεία πόση; δεσπότης εἶναι οὐ φῂς, οὐδὲ ἀνέχῃ τοῦτο ἀκούων, ἀλλὰ καὶ

ſervire, æquo jure cum æqualibus vivere: ſi qua in re excellas, moderaté id ferre: curare ac providere, ne á divitibus pauperes opprimantur, ob eamque cauſſam moleſtias omnes exorbere, quales tibi perſæpe accidiſſe veriſimile eſt, ut inimicitias, iras, contumelias: deinde hæc omnia leniter ferre, neque iraſci, neque animo indulgere tuo, ſed eum regere & caſtigare diligenter: denique, ſi quis hoc quoque in parte aliqua temperantiæ numeret, abſtinere palám ab omni voluptate, quæ neque admodum honeſta, neque turpis videatur, quód exiſtimes, non poſſe quenquam domi temperantem eſſe, ſi foris diſſolutus ſit, theatriſque delectetur: Si, inquam, talis temperantia eſt, tu te perdis, & nos perdis, qui ſervitutis ne nomen quidem audire poſſumus, neque erga Deos, neque erga leges: libertas enim apud omnes jucundiſſima eſt. Iam quãta eſt iſta diſſimulatio? negas te dominum eſſe, neque hoc nomẽ pati potes, imó etiam

iraſceris (itaque multi jam te auctore nomen iſtud de imperio tanquam invidioſum ſuſtulerunt, qui olim ei aſſueverant) & tamen nos ſervire cogis & magiſtratibus & legibus. Atqui quantó fuiſſet melius te dominum noſtrum appellari, re autem ipſa liberos nos eſſe ſincere ? O te oculis quidem clemētiſſimum, factis veró acerbiſſimum! Deinde enecas nos, cúm divites in judiciis moderatos eſſe cogis, pauperes calumniandi libertate ſpolias : dimiſſis veró ſcenis, hiſtrionibus, & ſaltatoribus urbem noſtram perdidiſti, adeó ut nihil boni á te percipiamus, niſi quód odioſam iſtam ſeveritatem ſeptimum jam menſem perpeſſi, vota quidem & preces, quó tantis malis eriperemur, ad vetulas dimiſimus, quæ circum ſepulchra mortuorum aſſidué verſantur : nos autem id quod volebamus, facetiis noſtris conſecuti ſumus, cúm te convitiis quaſi telis configeremus. At tu vir generoſe ac fortis, quemadmodum Perſarum tela ſuſtinebis, qui ad noſtra convicia perhorreſcis ? [13] Age veró, lubet iterum me ducto aliunde initio

[13] Secundum caput aſſumptionis de Juliani religione paulo copioſius proponitur.

ἀγανακτεῖς· ὥστε ἤδη ἔπεισας πλείστους ἐθάδας πάλαι γινομένους, ἀφελεῖν ὡς ἐπίφθονον τῆς ἀρχῆς τοῦτο τὸ ὄνομα· δουλεύειν δὲ ἡμᾶς ἀναγκάζεις ἄρχουσι καὶ νόμοις. καίτοι πόσῳ κρεῖττον ἦν ὀνομάζεσθαί σε ἡμέτερον δεσπότην, ἔργῳ δὲ ἐᾶν ἡμᾶς εἶναι ἐλευθέρους; ὦ τὰ μὲν* ὄμματα πρᾳότατε, πικρότατε δὲ τὰ ἔργα, πρὸς δὲ τούτοις ἀποκναίεις, βιαζόμενος μὲν τοὺς πλουσίους ἐν δικαστηρίοις μετριάζειν, τοὺς πένητας δὲ εἴργεις συκοφαντεῖν. ἀφεὶς δὲ τὴν σκηνὴν καὶ τοὺς μίμους, καὶ τοὺς ὀρχηστάς, ἀπολώλεκας ἡμῶν τὴν πόλιν, ὥστε οὐδὲν ἡμῖν ἀγαθὸν ὑπάρχειν παρὰ σοῦ, πλὴν τῆς βαρύτητος, ἀνεχόμενοι μῆνα ἕβδομον τουτονί, τὸ μὲν εὔχεσθαι πάντως ἀπαλλαγῆναι τοῦ τοσούτου κακοῦ, τοῖς περὶ τοὺς τάφους καλινδουμένοις γρᾳδίοις συνεχωρήσαμεν· ἡμεῖς δὲ αὐτὸ διὰ τῆς ἡμῶν αὐτῶν εὐτραπελείας ἐξειργασάμεθα, βάλλοντές σε τοῖς σκώμμασιν, ὥσπερ τοξεύμασι. σὺ δὲ ὦ γενναῖε, πῶς ἀνέξῃ τὰ Περσῶν βέλη, τὰ ἡμέτερα φρίσσων σκώμματα; ἰδού, βούλομαι πάλιν ἀπ' ἄλλης ἀρ-

* ἴσως, ὀνόματα. *Julianus enim à ſuis, vocabatur*, πρᾳότατος καὶ φιλοσοφώτατος. *Theodor. lib. 3. cap. 15.*

χῆς ἐμαυτῷ λοιδορήσασθαι. Φοιτᾷς εἰς τὰ
ἱερὰ δύσκολε καὶ δύστροφε καὶ πάντα μοχθη-
ρέ· συῤῥεῖ δὲ διά σε τὰ πλήθη πρὸς τὰ τε-
μένη, καὶ μέντοι καὶ οἱ πλείους τῶν ἐν τέλει, καὶ
ἀποδέχονταί σε σὺν βοῇ μετὰ κρότων λαμ-
πρῶς ἐν τοῖς τεμένεσιν, ὥσπερ ἐν τοῖς θεά-
τροις. τί οὖν οὐκ ἀγαπᾷς, οὐδ᾽ ἐπαινεῖς, ἀλλ᾽
ἐπιχειρεῖς εἶναι σοφώτερος τὰ τοιαῦτα τοῦ Πυ-
θίου, καὶ δημηγορεῖς ἐν τῷ πλήθει, καὶ καθά-
πτῃ τῶν βοώντων πικρῶς, αὐτὸ δὴ τοῦτο λέ-
γων ὃ ποιούμενον ὑπ᾽ αὐτῶν, ὡς ὑμεῖς τῶν
θεῶν ἕνεκεν ὀλιγάκις εἰς τὰ τεμένη συνέρχε-
σθε· συνδραμόντες δὲ, πολλῆς ἀκοσμίας ἀ-
ναπίμπλατε τὰ ἱερά. πρέποι δ᾽ ἂν ἀν-
δράσι σωφροσύνῃ κεκοσμημένοις, εὐτυχῆ
τε εὔχεσθαι εἰδόσι, σιγῇ παρὰ τῶν θεῶν αἰ-
ἐγρ. οὐκ ἀκροᾶσθε. τουμένοις τὰ ἀγαθὰ, τοῦτον* οὖν ἀκροᾶσθαι
τὸν νόμον Ὁμήρου,

Σιγῇ ἐφ᾽ ὑμείων.——

ἐγρ. ὡς οὐδ᾽ Ὀδυσσεὺς ἐπέσχε. * ὡς οὐδ᾽ ἂν Ὀδυσσεὺς ἐπέσχε τὴν Εὐρύκλειαν
ἐκπεπληγμένην ὑπὸ μεγέθους τοῦ κατορ-
θώματος,

Εν

initio vituperare. Ventitas in templa ô agreſtis, ô dure, & modis omnibus improbe: tua cauſſa populus, imó etiam magiſtratus complures in templa confluunt: & acciperis cum plauſu & clamore magnificé in templis, ut in theatris: quin igitur contentus es? quin laudas & probas ea, quæ fiunt? quid ſapientior eſſe vis ipſo Pythio, & concionaris ad populum, acriterque reprehendis eos, qui clamant, iiſque quod faciunt, commemoras: Vos, inquis, raró in templa, Deorum cauſſa convenitis: & cúm veniſtis, omnia miſcetis & turbatis: Decebat ſané bonos & modeſtos viros, & fauſta precari ſcientes, cum ſilentio bona á Diis petere, & hanc certé [14] Homeri legem audire, *[14] Locus eſt apud Homer. Iliad. η.*

Inter vos tacité.——

Neque enim Vlyſſes Eurycleam cohibuiſſet, magnitudine facinoris ſtupefactam,

Gaude

[15] ὀδυσ. χ. [15] Gaude animo vetula,& cohibe,nec funde querelas.

Trojanas quidem certé neque Priamo, neque cuiquam ex ejus liberis, ac ne ipſi quidem Hectori (quanquam huic veluti Deo ait Trojanos ſupplicare) ſed tamen illis ſupplices neque fœminas, neque viros fecit in poëmate. Sed ad Minervam(ait) omnes cum ululatu manus tendebant. Quanquam hoc etiam barbarorum eſt, & mulierculis conſentaneum, tametſi nō impium erga deos, ſicuti id quod vos facitis, qui nos homines tãquam deos collaudatis, nobiſque adulamini: cúm longé melius eſſet, ne diis quidem ipſis adulari, ſed ſobrié ac modeſté eos colere. [16] Ecce iterum voculas illas effingo, quibus uti apud vos cōſuevi,neque intereá mihi libertatem dicendi permitto, ſed pro uſitata mihi duritie aſperitateque, meipſum defraudo. Hæc igitur & alia hujuſmodi diſſeret quiſpiã apud homines, qui non modó liberi in principes, ſed etiã in Deos ipſos eſſe volunt, ut eorum ſtudioſus & quaſi benignus parẽs habeatur, cúm tamẽ natura perinde ac ego,ſit improbus.

[16] *Deponitur proſopopœia.*

Patere-

Ἐν θυμῷ γραῦ χαῖρε, καὶ ἴσχεο, μηδ' ὀλόλυζε. τὰς δὲ δὴ Τρῳάδας οὔτι πρὸς τὸν Πρίαμον, ἤ τινα τῶν τούτου θυγατέρων ἢ υἱέων, οὐ μὴν οὐδ' αὐτὸν τὸν Ἕκτορα· καίτοι τούτῳ, φησὶν, ὡς θεῷ Τρῶας εὔχεσθαι· εὐχομένας δὲ οὐκ ἔδειξεν ἐν τῇ ποιήσει οὔτε γυναῖκας, οὐδ' ἄνδρας· ἀλλὰ τῇ Ἀθηνᾷ ὀλολυγῇ πᾶσαι, φησι, χεῖρας ἀνέσχον. βαρβαρικὸν μὲν καὶ τοῦτο καὶ γυναιξὶ πρέπον. οὐ μὴν ἀνόσιον πρὸς τοὺς θεοὺς, ὥσπερ ὃ παρ' ὑμῶν ποιούμενον. ἐπαινεῖτε γὰρ ἀντὶ τῶν θεῶν τοὺς ἀνθρώπους ἡμᾶς, καὶ κολακεύετε. κάλλιστον δ' ἐστιν, οἶμαι, μηδ' ἐκείνους κολακεύειν, ἀλλὰ θεραπεύειν * σωφρόνως. ἰδοὺ, πάλιν ἐγὼ τὰ συνήθη τεχνιτεύω λεξείδια, καὶ οὐδ' ἐμαυτῷ συγχωρῶ φθέγγεσθαι, ὡς ἔτυχεν, ἀδεῶς καὶ ἐλευθέρως, ἀλλὰ ὑπὸ τῆς συνήθους σκαιότητος καὶ ἐμαυτὸν συκοφαντῶ. ταῦτά τις καὶ τοιαῦτ' ἂν λέγοι πρὸς ἄνδρας, οὐ τὰ πρὸς τοὺς ἄρχοντας μόνον, ἀλλὰ καὶ πρὸς θεοὺς ἐλευθέρους εἶναι θέλοντας, ὅπως τις εὔνους αὐτοῖς, καὶ ὥσπερ πατὴρ ἤπιος νομισθείη, φύσει πονηρὸς ὢν, ὥσπερ ἐγώ.

Iliad. ζ.

ἐγρ. σωφρόνων.

ἀνέχου τοίνυν αὐτῶν μισούντων καὶ λοιδορούντων λάθρα ἢ καὶ φανερῶς, ἐπεὶ κολακεύειν ἐνόμισας τοὺς ἐν τοῖς ἱεροῖς ὁρωμένους σε ἐπαινοῦντας. οὐ γὰρ, οἶμαι, διενοήθης, ὅπως ἁρμόσῃς τῶν ἀνδρῶν, οὔτε τοῖς ἐπιτηδεύμασιν, οὔτε τοῖς βίοις, οὔτε τοῖς ἤθεσιν. εἶεν, ἀλλ' ἐκεῖνο τίς ἀνέξεταί σου; καθεύδεις ὡς ἐπίπαν νύκτωρ μόνος, οὐδ' ἔστιν οὐδὲν ὅσον τὸν ἄγριον καὶ ἀνήμερον μαλάξει θυμόν. ἀποκέκλεισται δὲ πάσῃ πανταχοῦ πάροδος γλυκυθυμίᾳ, καὶ τὸ μέγιστον τῶν κακῶν, ὅτι τοιοῦτον ζῶν βίον εὐφραίνῃ, καὶ πεποίησαι τὰς κοινὰς κατάρας ἡδονήν. εἶτα ἀγανακτεῖς εἴ του τὰ τοιαῦτα ἀκούεις, ἐξὸν εἰδέναι χάριν τοῖς ὑπ' εὐνοίας ἐμμελέστερόν σε νουθετοῦσιν ἐν τοῖς ἀναπαίστοις, ἀποψιλῶσαι μὲν τὰς παρειὰς, καλὰ δὲ ἀπὸ σαυτοῦ πρῶτον ἀρξάμενον δεικνύειν πάντα τῷ δήμῳ τῷ φιλογέλωτι τῷ δὲ θεάματα, μίμους, ὀρχηστὰς, ἥκιστα αἰσχυνομένας γυναῖκας, παιδάρια περὶ κάλλους ἁμιλλώμενα ταῖς γυναιξὶν, ἄνδρας ἀποψιλουμένους, οὐ τὰς γνάθους μόνον, ἀλλὰ καὶ ἅπαν τὸ σῶμα, λειότεροι

τῶν

[17] Patere igitur te iis odio eſſe, & clám aut aperté reprehendi, quoniam adulari tibi putas eos, qui te in templis laudant. Nõ enim, ſicut opinor, cogitaſti, quemadmodum cum eorum hominum inſtitutis, vita, & moribus congruere deberes. [18] Sed age iſta ſileantur: ecquis illud ferendum putet? Dormis feré ſingulas noctes ſolus, neque quicquam eſt, quod immitem ac ferum iſtum animum poſſit lenire: intercluſiſti penitus omnem aditum ſuavitati, & quod malorum caput eſt, tali vita te oblectas, atque illud jam perfeciſti, ut deteſtabilis omnibus voluptas eſſe videatur. Atque hæc cúm ita ſint, tamen iraſceris, ſi á quoquam iſta audjas: cúm deberes potius gratias agere iis, qui te amicé & muſicé per anapæſtos admonent, primúm ut nudes iſtas genas, deinde ut á te initium faciens, jucunda omnia ſpectacula des iſti populo ridendi imprimis avido, ut mimos, ſaltatores, laſcivas mulieres, pueros de forma cum quavis muliere certãtes, viros nõ modó genis, ſed etiam toto corpore depilatos, ut ipſas etiã fœminas mollitie corporis vince-

[17] Repetitur proſopopœia Antiochẽſis.

[18] Iteratur primũ caput aſſumptionis, de odio voluptatis.

vincere videantur: poſtremó ferias, cõventus celebres, non ſacros me hercule, in quibus modeſté & temperanter vivendum eſt: [19] horum enim ſatis eſt, tanquam quercus, & multa jam eſt eorum ſatietas: Sacrificavit ſemel Cæſar in templo Iovis, deinde in Fortunæ, deinceps ter ivit ad Cereris: [20] (neq; enim quoties ad Daphnes templum ierit, memoria teneo, proditum quidem illud cuſtodum pigritia, obrutum autem ac deletum impiorum hominum audacia) veniunt Syrorum Calendæ? Cæſar rurſum ad Iovis Philii: venit publicum feſtum? Cæſar continuó it in templum Fortunæ: intereá veró dum nefaſtos dies expectat, rurſum in ædem Iovis Philii more majorum vota ſuſcipit: Et quis Cæſarem ferat tam ſæpe in templa ventitãtem, cúm liceat ſemel atque iterum diis moleſtiam exhibere: deinde ferias illas celebrare, quæ toti populo communes ſunt, & quarum participes eſſe poſſunt, non ii modó qui deos norunt, ſed etiam illi, quorum plena eſt civitas? Magna veró voluptas eſſet, atque oblectatio, quã quiſque perciperet, cúm fal-

[19] Iteratur caput ſecundum de religione.

[20] Verba ſunt Juliani in hac parentheſi. Daphne autẽ erat amœnũ & ambitioſum Antiochiæ ſuburbanum, ubi tẽplũ erat Daphnæi Apollinis ampliſſimũ, quod Epiphanes Antiochus rex ille condidit iracundus & ſævus. In hoc tẽplo erat Apollinis ſimulachrũ inſtar Jovis Olympici, quod ſubita vi flammarum exuſtũ eſt, undecimo Cal. Novẽb. cúm eſſet Antiochiæ Julianus. Quare adeó commotus eſt, ut quæſtiones agitari juberet ſolito acriores, & majorẽ eccleſiam Antiochiæ claudi: ſuſpicabatur enim id Chriſtianos egiſſe ſtimulatos invidia, quód idem templũ inviti videbant circundari periſtylio. Hæc Marcellinus lib. 20 & 22.

τῶν γυναικῶν ὅπως φαίνοιντο τοῖς ἐντυγχάνουσιν, ἑορτὰς, πανηγύρεις, οὔτι μὰ Δία τὰς ἱερὰς ἐν αἷς χρὴ σωφρονεῖν· ἅλις μὲν γὰρ ἐκείνων ἐστὶν, ὥσπερ τῆς δρυὸς, καὶ πολὺς ὁ κόρος αὐτῶν. ἔθυσεν ὁ Καῖσαρ ἐν τῷ τοῦ Διὸς ἅπαξ, εἶτα ἐν τῷ τῆς τύχης, εἰς δὲ τῆς Δημητέρος τρὶς ἐφεξῆς* ἐβάδισεν· ἐπιλέλησμαι γὰρ εἰς δὲ τῆς Δάφνης ὁσάκις εἰσῆλθεν τέμενος, προδοθὲν μὲν ὀλιγωρίᾳ τῶν φυλάκων, ταῖς δὲ τῶν ἀθέων ἀνδρῶν τόλμαις ἀφανισθέν· ἡ Σύρων ἥκει νεομηνία, καὶ ὁ Καῖσαρ αὖθις εἰς φιλίου Διός· εἶτα ἡ πάγκοινος ἑορτὴ, καὶ ὁ Καῖσαρ εἰς τὸ τῆς τύχης ἔρχεται τέμενος. ἐπισχὼν δὲ τὴν ἀποφράδα, πάλιν ἐς φιλίου τὰς εὐχὰς ἀναλαμβάνει κατὰ τὰ πάτρια. καὶ τίς ἀνέξεται τοσαυτάκις εἰς ἱερὰ φοιτῶντος Καίσαρος, ἐξὸν ἅπαξ ἢ δὶς ἐνοχλεῖν τοῖς θεοῖς, ἐπιτελεῖν δὲ τὰς πανηγύρεις ἐκείνας, αἳ κοιναὶ μέν εἰσι παντὶ τῷ δήμῳ, καὶ ὧν ἔξεστι μετέχειν, οὐ τοῖς ἐπισταμένοις θεοὺς, ἀλλὰ καὶ ὧν ἐστιν ἡ πόλις πλήρης; ἡδονὴ δὲ πολλὴ καὶ χάριτες, ὁποίας ἄν τις εὐφραίνοιτο διηνεκῶς καρπούμενος, ὁρῶν

* ἐγρ. ἐβάδιζε

ὀρχου-

ὀργιζομένοις ἄνδρας, καὶ παιδάρια, καὶ γύναια πολλά. ὅταν οὖν ταῦτα λογίσωμαι,* μακαρίζω μὲν ὑμᾶς τῆς εὐδαιμονίας, ἐμαυτῷ δὲ οὐκ ἄχθομαι· φίλα γάρ ἐστί μοι κατά τινα θεὸν ἴσως ταῦτα. διόπερ οὖν ἴστε, οὐδ᾽ ἀγανακτῶ τοῖς δυσχεραίνουσί μου τῷ βίῳ καὶ τῇ προαιρέσει. προστίθημι δὲ αὐτοῖς ὅσα δυνατόν ἐστί μοι τὰ εἰς ἐμαυτὸν σκώμματα, μειζόνως ἐπιχέων ἐμαυτοῦ ταυτασὶ τὰς λοιδορίας, ὃς ὑπὸ ἀφροσύνης οὐ συνῆκα ποταπὸν ἐξ ἀρχῆς τὸ τῆς πόλεως ἦθος· καὶ ταῦτα τῶν ἡλικιωτῶν τῶν ἐμῶν, ὡς ἐμαυτὸν πείθω, βιβλία ἀναλέξας οὐδενὸς ἀριθμὸν ἐλάττω. λέγεταί *τοι ἐπώνυμόν ποτε τῆσδε τῆς πόλεως βασιλέα, μᾶλλον δὲ οὗπερ ἐπώνυμος ἥδε ἡ πόλις συνῴκισται· πεποίηται μὲν γὰρ ὑπὸ Σελεύκου, τοὔνομά γε ἔχει ἀπὸ τοῦ Σελεύκου παιδός· ὅν δή φασι δι᾽ ὑπερβολὴν ἁβρότητος καὶ τρυφῆς ἐρῶντα ἀεὶ καὶ ἐρώμενον, τέλος ἄδικον ἔρωτα τῆς ἑαυτοῦ μητρυιᾶς ἐρασθῆναι. κρύπτειν δὲ ἐθέλοντα τὸ πάθος, οὐ δύνασθαι· τὸ σῶμα δ᾽ αὐτῷ κατὰ μικρὸν τηκόμενον,

*ἐγρ. μακαρίζομεν.

*ἐγρ. σοι

ſaltantes viros,pueros, mulierculas cerneret. [21] Ego veró cúm iſta mecum cogito atque conſidero, beatos ſine dubio vos eſſe judico, quibus tam fortunatis eſſe liceat. Sed non ideó tamen fortunæ meæ iraſcor, quæ neſcio quo Deo auctore mihi jucunda eſt. Itaque mihi credite, non iis ſuccenſeo, qui vitam & conſilium meum reprehendunt: imó addo illis etiam quæcunque alia poſſum in meipſum crimina fingere, prætereaq; me his vitiis accuſo, [22] quód ob ſtultitiam meam á principio non viderim quales eſſent hujus civitatis mores, idque cúm in libris legendis non minus quám quiſquam meorum æqualium verſatus ſim. [23] Proditũ eſt memoriæ,regem eum, qui ab iſta urbe nomen duxit, vel potius cujus nomine civitas hæc habitata eſt(condita ſiquidem eſt á Seleuco, nomen veró habet á Seleuci filio) hunc, inquam, ajunt ob luxus ac deliciarum immoderationẽ ſemper amare aut amari ſolitum, tãdem impuro novercæ amore captũ fuiſſe. Cúm autẽ ægritudinem occultare vellet, minimé potuiſſe, quód illi corpus ſenſim contabeſcens

21 Finis proſopopœiæ cũ ſentẽtia concluſionis, Jure igitur accuſor.

22 Repetitur aſſumptio de diſſimilibus moribus, & cauſſis illuſtratur: Antiochẽſes ſunt voluptarii, quia talis eorum conditor fuit: Julianus eſt auſterus, quia originẽ ducit ex Thracibus.

23 Hiſtoria de Antiochi in novercam amore refertur á Plutarcho, item á Galeno in li. de præcognit. ad Poſth. & Valerio lib. 5. cap. 6.

beſcens tacitè collaberetur, & vires deficerent, ſpirituſque imbecillior eſſet, quàm ſolebat. Videbatur certè illud ejus adoleſcentis ænigmati ſimile, cùm neque cauſſa morbi, neque morbus ipſe appareret. Cùm igitur adoleſcentis infirmitas manifeſta eſſet, magna ibi quæſtio medico Samio propoſita fuit, quis tandem morbus ille eſſet, cognoſcere. Is autem ex Homeri verſibus ſuſpicatus, quænam eſſent γυιοβόροι μελεδῶνες, curæ membra depaſcentes, quodque perſæpe non corporis imbecillitas, ſed animi ægritudo cauſſa ſit tabis corpori: ac videns adoleſcentem tum ætate, tum vitæ conſuetudine à venere alienum non eſſe, hanc viam in morbo inveſtigãdo tenuit: Sedet juxta lectum, in adoleſcentis vultum intuens, jubet formoſos & formoſas procedere, ab ipſa regina ordiens. Illa ut venit, ipſum videlicet inviſura, ſtatim morbi ſigna dedit adoleſcens: ſpiritum tanquã qui opprimuntur, emittebat: inhibere enim motum ipſius, quanvis vehementer cuperet, non poterat, & magna

erat

νον, ἀφανῶς οἴχεσθαι, καὶ ὑπορρεῖν τὰς δυνάμεις, καὶ τὸ πνεῦμα ἔλαττον εἶναι τοῦ συνήθους. ἐῴκει δὲ οἶμαι τὸ κατ' αὐτὸν, αἰνίγματι, σαφῆ μὲν οὐκ ἐχούσης αἰτίαν τῆς νόσου, μᾶλλον δὲ οὐδ' αὐτῆς ἥτις ποτὲ ἐστι, φαινομένης. ἐναργοῦς δὲ οὔσης τῆς περὶ τὸ μειράκιον ἀσθενείας, ἐνταῦθα μέγας ἆθλος ἰατρῷ προὐτέθη τῷ Σαμίῳ τὴν νόσον ἥτις ποτὲ ἐστιν ἐξευρεῖν. ὁ δὲ ὑπονοήσας ἐκ τῶν Ὁμήρου τίνες ποτὲ εἰσι γυιοβόροι μελεδῶνες, καὶ ὅτι πολλάκις οὐκ ἀσθένεια σώματος, ἀλλ' ἀρρωστία ψυχῆς αἰτία γίνεται τηκεδόνος τῷ σώματι, καὶ τὸ μειράκιον ὁρῶν ὑπό τε ἡλικίας καὶ συνηθείας οὐκ ἀναφρόδιτον, ὁδὸν ἐτράπετο τοιαύτην ἐπὶ τὴν τοῦ νοσήματος θήραν· καθίζει πλησίον τῆς κλίνης, ὁρῶν εἰς τὸ πρόσωπον τοῦ μειρακίου, παριέναι κελεύσας καλούς τε καὶ καλὰς, ἀπὸ τῆς βασιλίδος ἀρξάμενος. ἡ δ' ὡς ἦλθεν, ἐπισκεψομένη δῆθεν αὐτοῦ, αὐτίκα ἐδίδου τὰ συνθήματα τοῦ πάθους ὁ νεανίας· ἆσθμα τῶν θλιβομένων ἠφίει· ἐπέχειν γὰρ αὐτὸ κινούμενον, καίπερ σφόδρα ἐθέλων, οὐχ οἷός τε ἦν, καὶ τα-

ραχὴ

ἀρχὴν τοῦ πνεύματος, καὶ πολύ τι περὶ τὸ πρόσωπον ἐρύθημα. ταῦτα ὁρῶν ὁ ἰατρὸς, προσάγει τῷ στέρνῳ τὴν χεῖρα, καὶ ἐπήδα δει-
ἐγρ. ἔπιχων νῶς ἡ καρδία, καὶ ἔξω ἵετο. τοιαῦτα ἄττα * ἔπασχεν ἐκείνης παρούσης· ἐπεὶ δὲ ἀπῆλθεν, ἐπιόντων τῶν ἄλλων, ἀτρέμας εἶχε, καὶ ἦν ὅμοιος τοῖς οὐδὲν πάσχουσι. συνιδὼν δὲ τὸ πάθος ὁ Ἐρασίστρατος, φράζει πρὸς τὸν βασιλέα, καὶ ὃς ὑπὸ τοῦ φιλόπαις εἶναι, παραχωρεῖν ἔφη τῷ παιδὶ τῆς γαμετῆς. ὁ δὲ αὐτίκα μὲν ἠρνήσατο, τελευτήσαντος δὲ τοῦ πατρὸς μικρὸν ὕστερον, ἣν πρότερον διδομένην αὐτῷ χάριν εὐγενῶς ἠρνήθη, μάλα κρατερῶς μετεδίωξεν. Ἀντιόχῳ μὲν δὴ ταῦτα ἐποιήθη. τοῖς δ' ἀπ' ἐκείνου γενομένοις οὐ νέμεσις ζηλοῦν τὸν οἰκιστὴν, ἢ τὸν ὁμώνυμον. ὥσπερ γὰρ ἐν τοῖς φυτοῖς εἰκός ἐστι διαδίδοσθαι μέχρι πολλοῦ τὰς ποιότητας, ἴσως δὲ καὶ ἐπίπαν ὁμοίως τὰ μετὰ ταῦτα τοῖς ἐξ ὧν ἐβλάστησε, φύεσθαι· οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων εἶναι εἰκὸς παραπλήσια τὰ ἤθη τῶν ἀπογόνων τοῖς προγόνοις. ἐγώ τοι καὶ αὐτὸς ἔγνων Ἀθηναίους Ἑλλήνων φιλοτιμο-

τάτους

erat ſpiritus perturbatio, multuſque circa vultum rubor emicabat. Hæc quum videret medicus, manum ad pectus adoleſcentis admovet: ſaliebat cor vehementer, & quaſi de ſua ſede dimovebatur. Ac talia quidem coram regina patiebatur. Poſtquam veró illa diſceſſit, cæteris ſubſequentibus quietus erat, & ſimilis iis, qui nullam ſentiunt ægritudinem. Cognitum igitur morbum Eraſiſtratus regi exponit. Ille quód liberos amaret, permittere ſe, ait, filio uxorem. At is tum quidem recuſavit: patre autem mortuo non multó póſt tempore, quod munus anteá ſibi datum generoſé repudiarat, cupidiſſimé arripuit. Ergo hæc Antiochus. Quare nulla invidia eſſe debet, ſi nepotes avum generis vel certé nominis auctorem imitantur. Nam quemàdmodum in plantis veriſimile eſt diffundi qualitates quám latiſſimé, ac fortaſſe etiam in totum ſimilia naſci ea quæ gignuntur, iis unde orta ſunt: ſic etiam in hominibus credibile eſt, nepotum mores avitis affines eſſe.[24] Equidem Athenienſes omnium Græcorum liberaliſſi- [24] *Parium collatio.*

mos atque humaniſſimos eſſe animadverti. Quanquam probitatem quidem certé in omnibus Græcis vidi, poſſumque de iis affirmare, omnium eos religioſiſſimos & humaniſſimos erga hoſpites eſſe: veruntamen é Græcis ipſis uberius certé & majus hac de re teſtimonium Athenienſibus dare poſſum. Quód ſi ii virtutis ac morum effigiem antiquam retinent, quid eſt cur Syri, Arabes, Galli, Thraces, Illyrii, & inter hos ipſos ad ripas Iſtri interjecti Myſi idem facere non poſſint? At mihi genus ab iſtis eſt, penitus agreſte, durum, ruſticum, inamœnum, pertinaciter adhærens ad ea quæ ſemel judicavit: quæ omnia duritiem ingenii mirabilem oſtĕdunt. [25] Quamobrem primúm veniam pro me deprecor, deinde vobis eandem viciſſim concedo, qui patrios mores vitamque perſequimini: neque probri loco jam illud profero,

[25] *Concluditur accuſationis loco excuſatio.*

Mendaceſque, boniqùe leves ſaltare choreas:

imó cŏtrá potius in magna laude pono, quód tam arcté accuratéque patrum veſtrorū mores & inſtituta teneatis. Nam

Home-

πατρίοις καὶ φιλανθρωποτάτοις, καίτοι τό γε ἐπιεικὲς ἐν πᾶσιν εἶδον τοῖς ἕλλησιν. ἔχω δ᾽ εἰπεῖν ὑπὲρ αὐτῶν, ὡς καὶ φιλόθεοι μάλιστα πάντων εἰσὶ καὶ δέξιοι πρὸς τοὺς ξένους· καθόλου μὲν ἕλληνες πάντες, αὐτῶν δὲ ἑλλήνων πλέον τοῦτο ἔχω μαρτυρεῖν Ἀθηναίοις. εἰ δὲ ἐκεῖνοι διασώζουσιν εἰκόνα τῆς παλαιᾶς ἐν τοῖς ἤθεσιν ἀρετῆς· εἰκὸς δήπουθεν τὸ αὐτὸ ὑπάρχειν καὶ Σύροις, καὶ Ἀραβίοις, καὶ Κελτοῖς, καὶ Θραξὶ, καὶ παίοσι, καὶ τοῖς ἐν μέσῳ κειμένοις Θρακῶν καὶ παιόνων, ἐπ᾽ αὐταῖς Ἴστρου ταῖς ἠϊόσι, μυσοῖς. ὅθεν δὴ καὶ ὁ τρόπος ἐστί μοι πάνυ ἄγροικον, αὐστηρὸν, ἀδέξιον, ἀναφρόδιτον, ἐμμένων τοῖς κριθεῖσιν ἀμετακινήτως. ἃ δὴ πάντα ἐστὶ δείγματα δεινῆς ἀγροικίας. αἰτοῦμαι τοίνυν ὑπὲρ ἐμαυτοῦ πρῶτον συγγνώμην, ἐν μέρει δὲ καὶ ὑμῖν νέμω, τὰ πάτρια ζηλοῦσιν· οὐδ᾽ ἐν ὀνείδει προσφέρω, τὸ,

Ψεῦσταί τ᾽, ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι. Ιλιαδ. ω.

τοὐναντίον δὲ ἀντ᾽ ἐγκωμίων ὑμῖν προσεῖναί φημι πάτριον ζῆλον καὶ ἐπιτηδεύματα. ἐπεὶ

καὶ Ὅμηρος ἐπαινῶν τὸν Αὐτόλυκον, φησὶ περιεῖναι πάντων,

ὀδυσσ. τ. Κλεπτοσύνῃ θ' ὅρκῳ τε.——

καὶ ἐμαυτοῦ τὴν σκαιότητα, καὶ τὴν ἀμαθίαν, καὶ τὴν δυσκολίαν, καὶ τὸ μὴ ῥᾳδίως μαλάττεσθαι, μηδὲ τοῖς δεομένοις, ἢ τοῖς * ἐξαπατῶσι τὰ ἐμαυτοῦ ποιεῖσθαι, μηδὲ ταῖς βοαῖς εἴκειν. καὶ τὰ τοιαῦτα στέργω ὀνείδη. πότερα μὲν οὖν ἐστὶ κουφότερα, θεοῖς ἴσως δῆλον, ἐπείπερ ἀνθρώπων οὐδεὶς οἷός τε ἡμῖν ὑπὲρ τῆς διαφορῶν βραβεῦσαι· πεισόμεθα γὰρ οὐδαμῶς αὐτῷ διὰ φιλαυτίαν· θαυμάζειν γὰρ εἰκὸς τὰ ἑαυτοῦ ἕκαστον, ἀτιμάζειν δὲ τὰ παρὰ τοῖς ἄλλοις. ὁ δὲ τῷ τὰ ἐναντία ζηλοῦντι νέμων συγγνώμην, εἶναί μοι δοκεῖ πρᾳότατος. ἐγὼ δὲ ἐννοήσας εὑρίσκω καὶ ἕτερα δεινὰ ἐμαυτὸν εἰργασμένον. πόλει γὰρ προσιὼν ἐλευθέρᾳ, τὸν αὐχμὸν τῶν τριχῶν οὐκ ἀνεχομένῃ, ὥσπερ οἱ κουρέων ἀποροῦντες, ἄκαρτος καὶ βαθυγένειος εἰσέδραμον· ἐνόμισας ἂν σμικρίνην ὁρᾶν ἢ θρασυλέοντα δύσκολον πρεσβύτην ἢ στρατιώτην ἀνόητον, ἐξὸν φανῆναι τῷ

ἐγρ. ἐξαπατῶσι

καλλο-

Homerus quoque Autolycum laudans, omnibus eum antecellere ait,

Furto ac juramento:----

& mihi quoque hæc eſſe confiteor duritiem, ſtultitiam, acerbitatem, & non facilé molliri, neque orantibus aut poſtulantibus, ut res meas agam, neque vocibus aſſiduis concedere. Ac ſané probris iſtis non offendor. Vtra autem leviora ſint, dii fortaſſe norunt, homo quidem certé nullus poteſt dijudicare, cúm præſertim ingenitus cuique ſui amor non ſinat alteri fidem adhibere: quód ea ſit feré hominum natura, ut omnes ſua mirentur, aliena deſpiciant. Attamen qui genus vitæ contrarium ſequenti veniam dat, lenitate mihi videtur excellere.[26] Ego autem cúm rem attētiús cogito, aliis etiam modis me mihi nocuiſſe animadverto. Nam cúm in urbem liberam venirem, quæ capillorum ſqualorem ferre non poteſt, veni ad eam cum barba longiſſima, & intonſus, quaſi tonſorum copia deeſſet: judicaſſes profectó te [27] Smicrinē videre, aut Thraſyleonta, ſenem moroſum aut militem amentē, cúm liceret ornatu adhi-

[26] *Repetitur auſteritas Juliani ex barba promiſſa.*

[27] *In fabulis Menandri Thraſyleon nominatur, item fortaſſe Smicrine.*

adhibito puerum formoſum videri, & fieri juvenem ſi minus ætate, at certé moribus & facie delicata.[28] Neſcis cum hominibus vivere,[29] neque Theognidẽ probas, neque imitaris polypum petras referentem, ſed illam Meconis ruſticitatem, & ſtultitiam, & amentiam [30]veteri verbo tritam amplecteris. Neſcis multum abeſſe, ut tales ſint Galli, Thraces, Illyrii? Non vides multas in urbe cauponas eſſe? Tu veró cauponibus iraſceris, neque pateris eos annonam populo & exteris, quanti volunt, vendere. Et illi quidem de agrorum poſſeſſoribus queruntur, hi veró tibi infenſi ſunt, propterea quód eos juſtos eſſe cogis: Magiſtratus autem, quód ex utroque civitatis incommodo, ſicut opinor, lucrum facerent, gaudebant anteá duplicem fructum capientes, & ut agri poſſeſſores, & ut caupones: nunc utriſque ſpoliati commodis meritó ſuccenſent: Populus etiam Syrorum cúm non queat potare, neque cordacem ſaltare,

[28] *Proſopopœia Antiochenſis, ubi tertium caput aſſũptionis fuſius exponitur, de injuſtitia quã prohibeat Julianus in vendẽda annona.*

[29] *Theognidis ſententia eſt,* πουλύποδος νόον ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

[30] *De hoc proverbio vide Suid.*

καλλωπισμῷ παῖδα ὡραῖον, ἢ γενέσθαι μειράκιον, εἰ μὴ τὴν ἡλικίαν, τὸν τρόπον γε καὶ τὴν ἀβρότητα τοῦ τρόπου. οὐκ οἶσθα ἀνθρώποις ὁμιλεῖν, οὐδ᾽ ἐπαινέτης εἶ τοῦ Θεόγνιδος, οὐδὲ μιμῇ τὸν ἀφομοιούμενον ταῖς πέτραις πολύπουν, ἀλλ᾽ ἡ λεγομένη Μήκωνος ἀγροικία τὶς καὶ ἀμαθία, καὶ ἀβελτηρία πρὸς πάντας ἐπιτηδεύεται παρά σου. λέληθέ σε πολλοῦ δεῖν ταῦτα εἶναι * Κελτοὺς, καὶ Θρᾶκας, καὶ Ἰλλυριούς; οὐχ ὁρᾷς ὁπόσα μὲν ἐν τῇ πόλει ταύτῃ καπηλεῖα; σὺ δὲ ἀπεχθάνῃ τοῖς καπήλοις, οὐ συγχωρῶν ὁπόσου βούλονται πωλεῖν αὐτοῖς τῷ δήμῳ τὰ ἐπιτήδεια καὶ τοῖς ἐπιδημοῦσιν. οἱ δὲ τοὺς κεκτημένους τὴν γῆν αἰτιῶνται· σὺ δὲ καὶ τούτους ἐχθροὺς ποιεῖς σαυτῷ τὰ δίκαια ποιεῖν αὐτοὺς ἀναγκάζων. οἱ δὲ ἐν τέλει τῆς πόλεως ἀμφοῖν * μετέχοντες τὴν ζημίαν· ὥσπερ οἶμαι πρότερον ἔχαιρον διχόθεν καρπούμενοι τὰς ὠφελείας, καὶ ὡς κεκτημένοι, καὶ ὡς καπηλεύοντες, τανῦν εἰκότως λυποῦνται δὴ ἀμφοτέρων ἀφῃρημένοι τὰς ἐπικερδίας· ὁ δὲ Σύρων δῆμος οὐκ ἔχων μεθύειν, οὐδὲ κορ-

* γρ. κελτοὶ καὶ θρᾶκες καὶ ἰλλύριοι

* γρ. μετέχοντα.

δακνάζειν, ἄχθεται· σὺ δὲ σῖτον ἄφθονον παρέχων, οἴει τρέφειν αὐτοὺς ἱκανῶς. ἐκεῖνο δέ σοι χαρίειν, ὅτι οὐδὲ ὅπως ἰχθὺς ἐν τῇ πόλει πετραῖος ἔσται, σκοπεῖς. ἀλλὰ καὶ πρῴην μεμφομένου τινὸς, ὡς οὔτε ἰχθυδίων, οὔτε ὀρνίθων πολλῶν εἰσκομιζομένων ἐν ἀγορᾷ *τωθασικῶς μάλα ἐγέλασας, ἄρτου καὶ οἴνου καὶ ἐλαίου τῇ σώφρονι πόλει δεῖν φάμενος, κρεῶν δὲ ἤδη τῇ τρυφώσῃ. τὸ γὰρ καὶ ἰχθύων καὶ ὀρνίθων λόγον ποιεῖσθαι, πέρα τρυφῆς εἶναι, καὶ ἧς οὐδὲ τοῖς ἐν Ἰθάκῃ μνηστῆρσι μετῆν ἀσελγείας. ὅτῳ δὲ οὐκ ἐν ἡδονῇ κρέα ὕεια καὶ προβάτεια σιτεῖσθαι τῶν ὀσπρίων ἀπτόμενος, ὥστε προάξειν ταῦτα ἐνόμισας, καὶ Θραξὶ νομοθετεῖν τοῖς σεαυτοῦ πολίταις, ἢ τοῖς ἀναισθήτοις Γαλάταις, οἵ σε ἐπαιδοτρίβησαν καθ' ὑμῶν πρίνινον, σφενδάμνινον, οὐκέτι μέντοι καὶ μαραθωνομάχην, ἀλλ' Ἀχαρνέα μὲν ἐξημισείας, ἀηδῆ δὲ ἐς ἄνδρας παντάπασι καὶ ἄνθρωπον ἄχαριν. οὐ χρῆστον ἦν ὀδωδέναι μύρων τὴν ἀγορὰν βαδίζοντός σου, καὶ παῖδας ἡγεῖσθαι καλοὺς, εἰς οὓς ἀποβλέποιεν οἱ πολῖται, καὶ χορούς γυναικῶν,

γρ. τῷ θασικὸς

ſaltare, iraſcitur : tu autem abundé illos alere exiſtimas, quód eis frumenti copiam largiare. Enimveró illa tua ægregia eſt atque admirabilis ſapientia, quód neque ut piſces ſaxatiles in urbe ſint, provides : imó dudum cúm quidam conquereretur, neque piſces multos, neque aves jam in foro reperiri, illudens multum riſiſti, cúm diceres ſatis eſſe civitati ſobriæ ac moderatæ vinum & oleum, carnes veró delicatæ jam eſſe : piſces autem & aves requirere, ſupra omnes delicias eſſe, & quales ne procis quidem in Ithaca fuiſſent. Iſto autem pacto carnes ſuillas & ovillas non cum voluptate comedi, quód tu leguminibus veſcereris, beneque Reip. conſulere exiſtimaſti, & Thracibus tuis leges dare, aut Gallis ſtupidis, qui te nobis ilignum, acernum, neque tamen Marathonium bellatorem, ſed ex dimidio Acharnenſem, ingratum omnibus atque inviſum aluerunt. Nónne melius fuerat forum te ambulante unguenta olere, pueros formoſos præcedere in quos cives ipſi oculos & ora converterent, & cœtus mulie-

31 Reſpondetur Antiochẽſi ex cauſſis, quód hos mores didicerit Jul. á præceptore.

rum, quales apud nos, ſunt quotidie? 31 Verum enimveró mihi laſcivé oculis quoquoverſum projectis aſpicere, quó pulcher corpore, nõ mẽte, vobis videar, mores mei non ſinũt. Nam vobis quidẽ judicibus, vera animi pulchritudo in vitæ deliciis tota eſt poſita. At me præceptor meus docuit, cúm ad magiſtros vẽtitarem, terram, nõ theatrũ aſpicere, ac pluris mentũ capitis æſtimare. Et certé in illa ætate privatim & ſpõte mea nunquã, ter autẽ vel quater principis juſſu ivi, cúm is Patroclo gratificari cuperet, mecumq; eſſet cõſanguinitate ac neceſſitudine cõjunctus: quo ego tẽpore privatus adhuc vivebam. Quare ignoſcere mihi debetis, cúm præſertim eum vobis oſtendã, cui multó iuſtius iraſci poteritis, nẽpé importuniſſimũ illũ præceptorem, qui mihi jam tũ moleſtus erat, cúm viã illã unicã mihi ad bene vivendũ proponeret. Ille mihi nũc auctor eſt tãtæ apud vos offenſionis, cúm in animo meo ingeneraverit, & quaſi impreſſerit, id ꝙ ego tũ repudiabã. Et tamen is tanquã rẽ gratã mihi faceret, cupidé in id incũbebat, appellãs credo gravitatẽ, quæ eſſet

duri-

κὼν, ὁποῖοι παρ' ὑμῖν ἵστανται καθ' ἑκάστην ἡμέραν; Ἐμοὶ δὲ ὑγρὸν βλέπειν, ῥιπτοῦντι πανταχοῦ τὰ ὄμματα, ὅπως ὑμῖν καλὸς, οὐ τὴν ψυχὴν, ἀλλὰ τὸ πρόσωπον ὀφθείην, ὁ τρόπος οὐ συγχωρεῖ. ἔστι μὲν γὰρ, ὡς ὑμεῖς κρίνετε, ψυχῆς ἀληθινὸν κάλλος, ὑγρότης βίου. ἐμὲ δὲ ὁ παιδαγωγὸς ἐδίδασκεν εἰς τὴν γῆν βλέπειν, εἰς διδασκάλους φοιτῶντα, θέατρον οὐκ ἰδεῖν, πρὶν μᾶλλον νομῆσαι τῆς κεφαλῆς τὸ γλύφον. ἐν ἐκείνῳ δὲ τῆς ἡλικίας ἰδίᾳ καὶ κατ' ἐμαυτὸν οὐδέποτε, τρίτον δὲ ἢ τέταρτον, εὖ ἴστε, Πατρόκλῳ ἐπίηρα φέρων ἄρχων ἐπέταττεν, οἰκεῖος ὢν ἐμοὶ καὶ ἀναγκαῖος. ἐτύγχανον δὲ ἰδιώτης ἔτι· Συγγνωστέον οὖν ἐμοί. δίδωμι γὰρ ὃν ἀντ' ἐμαυτοῦ δικαιότερον μισήσεται τὸν φιλαπεχθήμονα παιδαγωγὸν, ὅς με καὶ τότε ἐλύπει, μίαν ὁδὸν εἶναι διδάσκων. καὶ νῦν αἴτιός ἐστι μοι τῆς πρὸς ἡμᾶς ἀπεχθείας, ἐνεργασάμενος τῇ ψυχῇ, καὶ ὥσπερ ἐντυπώσας, ὅπερ ἐγὼ μὲν οὐκ ἐβουλόμην τότε. ὁ δὲ ὡς δή τι χαρίεν ποιῶν μάλα προθύμως ἐνέθηκε, καλῶν, οἶμαι, σεμνότητα, τὴν ἀγροι-

ἀγροικίαν, καὶ σωφροσύνην, τὴν ἀναισθησίαν, ἀνδρίαν δὲ, τὸ μὴ εἴκειν ταῖς ἐπιθυμίαις, μηδ' εὐδαίμονα ταύτῃ γίγνεσθαι. ἔφη δέ μοι πολλάκις, εὖ ἴσθι μὰ Δία καὶ μούσας ὁ παιδαγωγὸς ἔτι παιδαρίῳ κομιδῇ, μή σε παραπειθέτω τὸ πλῆθος τῶν ἡλικιωτῶν, ἐπὶ τὰ θέατρα φερόμενον ὀρεχθῆναί ποτε ταυτησὶ τῆς θέας. ἱπποδρομίας ἐπιθυμεῖς; ἔστι παρ' Ὁμήρῳ δεξιώτατα πεποιημένη, λαβὼν ἐπέξιθι τὸ βιβλίον. τοὺς παντομίμους ἀκούεις ὀρχηστάς; ἔα χαίρειν αὐτοὺς, ἀνδρικώτερον παρὰ τοῖς Φαίαξιν ὀρχεῖται τὰ μειράκια. σὺ δ' ἔχεις κιθαρῳδὸν τὸν Φήμιον, καὶ ᾠδὸν τὸν Δημόδοκον. ἔστι καὶ παρ' αὐτῷ πολλὰ φυτὰ τερπνότερα ἀκοῦσαι τῶν ὁρωμένων·

Δήλῳ δή ποτε τοῖον Ἀπόλλωνος παρὰ βωμὸν,
Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

καὶ ἡ δενδρήεσσα τῆς Καλυψοῦς νῆσος, καὶ τὰ τῆς Κίρκης σπήλαια, καὶ ὁ Ἀλκινόου κῆπος· εὖ ἴσθι, τούτων οὐδὲν ὄψει τερπνότερον. ἆρα ποθεῖτε καὶ τοὔνομα ὑμῖν φράσω τοῦ παιδαγω-

γοῦ,

durities: temperantiam, quæ ſtupiditas: fortitudinem, non ſuccumbere voluptati: neque eó quenquam eſſe beatum, quód voluptatibus abundaret. Sæpenumeró mihi admodum puero (teſtor Iovem & muſas) dicebat præceptor ille, Ne ſinas te á tuorum æqualium multitudine in theatra induci, neque ulla ejus ſpectaculi cupiditate tenearis. Circenſes deſideras? apud Homerum eos elegantiſſimé deſcriptos reperies, cape librum, & lege. Hiſtriones audis ſaltatores? ſine eos valere: fortiús ſaltant juvenes apud Phæacas. Habes illic citharædum Phemium, & cantorem Demodocum. Sunt etiam apud eundem multæ ſtirpes, quæ majore cum voluptate audiuntur, quám noſtræ ſpectantur:

[32]Sic quondam Deli ſacras ad Apollinis aras, [32] *Odyß. ζ.*
Proceram viridi conſpexi in gramine palmam.

Quid Calypſonis inſula opaca arboribus? quid Circes antra? quid hortus Alcinoi? crede mihi, nihil videbis jucundius. Vultis illius nomen præceptoris,

ris, & genus proferam? Homo barbarus me hercule, & genere Scytha is erat,[33] eodemque nomine cum illo, qui Xerxem ad bellum in Græciam, nobileque Argos induxit. Hoc veró nomen, quod ante viceſimum menſem honoris, nunc contumeliæ cauſſa appellatur, Eunuchus erat, ſub meo avo educatus, ut matri meæ Homeri atque Heſiodi poëmata exponeret. Cúm autem illa paucis póſt menſibus mortua eſſet, meque primum & ſolum filium reliquiſſet, tum ego tanquam virgo orba & deſerta, multis calamitatibus erepta, puella & tenera, poſt annum ſeptimum ipſi traditus fui. Is ab eo tempore cúm me ad magiſtros deduceret, unicam bene vivendi viam eſſe mihi perſuaſit: cumque ille aliam neque ſcire vellet, neque mihi ingredi permitteret, effecit, ut in omnium veſtrum odium incurrerem. Verûtamen, ſi videtur, pacem cum illo ego voſque faciamus, & inimicitias dirimamus. Neque enim ille me ad vos venturum putavit, neque ut venirem, tamen regna-

[33] *Hic fuit Mardonius, ut eſt in Herodoto, & Socrate lib.3. cap.1.*

του, καὶ ὅστις ὢν γένος ταῦτα ἔλεγε; βάρβαρος νὴ τοὺς θεοὺς καὶ θεάς, Σκύθης μὲν τὸ γένος, ὁμώνυμος δὲ τοῦ τὸν Ξέρξην ἀναπείσαντος ἐπὶ τὴν ἑλλάδα στρατεῦσαι, καὶ τὸ πολυθρύλλητον Αργος. τοῦτο δὴ πρὸ μηνῶν μὲν εἴκοσι προσκυνούμενον ὄνομα, νυνὶ δὲ προφερόμενον ἀντ' ἀδικήματος καὶ ὀνείδους, εὐνοῦχος ἦν, ὑπὸ τῷ ἐμῷ τεθραμμένος πάππῳ, τὴν μητέρα τὴν ἐμὴν ὅπως ἀγάγῃ διὰ τῶν Ὁμήρου καὶ Ἡσιόδου ποιημάτων. ἐπεὶ δή ἐκείνη πρῶτον ἐμὲ καὶ μόνον τεκοῦσα, μηνῶν ὕστερον ὀλίγοις ἐτελεύτησεν, ὥσπερ τις ἀμήτωρ παρθένος πολλῶν συμφορῶν ἐκκλαπεῖσα κόρη καὶ νέα, μετ' ἐνιαυτὸν ἕβδομον αὐτῷ παρεδόθην. ἐπὶ δὲ ἐκείνου ἀνέπεισεν ἄγων εἰς διδασκάλους μίαν ὁδόν· ἄλλην δ' οὐδ' αὐτὸς εἰδέναι θέλων, οὔτ' ἐμοὶ βαδίζειν συγχωρῶν, ἐποίησεν ἀπεχθάνεσθαί με πᾶσιν ὑμῖν. ἀλλ' εἰ δοκεῖ, πεισώμεθα πρὸς αὐτὸν ἐγώ τε καὶ ὑμεῖς, τὴν ἀπέχθειαν * λύσαντες. ἐγρ. λήξαντες οὔτε γὰρ ἠπίστατο πρὸς ὑμᾶς ἀφιξόμενον, οὐδ' εἰ τὰ μάλιστα φοιτᾶν μέλλοιμι, ὅτι καὶ

ἄρχων

ἄρχων προσεδόκα, καὶ εἰς τοσαύτην ἀρχὴν, ὅσην ἔδωκεν οἱ θεοί, πολλὰ ὅμως βιασάμενοι, πείθητε, καὶ τὸν διδόντα, καὶ τὸν δεχόμενον. ἐῴκει γὰρ ἡμῶν οὐδέτερος ἐθέλειν, οὔτε ὁ διδοὺς τὴν τιμὴν, ἢ χάριν, ἢ ὅ,τι φίλον ὑμῖν αὐτὸ ὀνομάζειν, δοῦναι, καὶ ὁ λαμβάνων· ὡς ἴσασιν οἱ θεοὶ πάντες· ἀληθῶς ἠρνεῖτο. καὶ δὴ τοῦτο μὲν ὅπη τοῖς θεοῖς φίλον ἔχει τε καὶ ἕξει. τυχὸν δὲ εἰ ὁ παιδαγωγὸς προέγνω τοῦτο, πολλὴν ἂν ἐποιήσατο προμήθειαν, ὅπως ὅτι μάλιστα ὑμῖν φανείην κεχαρισμένος. εἶτα οὐκ ἔξεστιν ἀποθέσθαι νῦν καὶ ἀπομαθεῖν εἴ τι πραότερον ἡμῖν ἢ ἀγροικὸν ἦθος ἀνετράφη· ἔθος, φασὶ, δευτέρη φύσις· μάχεσθαι δὲ, ἔργον· ἐτῶν δὲ τριάκοντα μελέτην ἀφεῖναι παγχάλεπον, ἄλλως τε μετὰ τοσαύτης ἐγγινομένην χαλεπότητος. ἐμοὶ δὲ ἤδη πλείω τούτων ἐστίν. εἶεν, ἀλλὰ τί παθὼν αὐτὸς ἐπιχειρεῖς ἀκροᾶσθαι περὶ τῶν συμβολαίων, καὶ δικάζειν; οὐ γὰρ δὴ καὶ τοῦτό σε ὁ παιδαγωγὸς ἐδίδασκεν, ὃς οὐδ' εἰ ἄρξεις ἠπίστατο. δεινὸς ἀνέπεισε γέρων, ὃν καὶ ὑμεῖς ὡς ὄντα μάλιστα αἰτιώτατον τῶν

ἐμῶν

regnaturum ſperavit, in tãto præſertim imperio,quantum Dii largiti ſunt,multúm ſané invito ac repuguãte tũ illo qui dedit,tũ me qui accepi. Videbatur enim neuter noſtrũ velle:neq; is qui hunc honoré,vel gratiã,vel quocunq; alio nomine vultis appellare,libẽter dabat: & qui accepit(dii ſunt teſtes)veré & ex animo recuſabat. Verúm iſta, deorũ volũtas & tũ moderata eſt,&in poſterũ moderabitur. Quód ſi præceptor meus providere iſtud mẽte potuiſſet, fortaſſe omni cura diligentiaque contendiſſet ut me vobis quám maximé gratioſum charumq; efficeret. Nũc nõ eſt jam integrũ ſi quid eſt penitus inſitũ moribus lene aut aſperũ,id ſubitó evellere:conſuetudo,veteri ꝓverbio,altera natura eſt, cui repugnare,laborioſum:cõſuetudinẽ veró triginta annorum ſpacio meditatã deponere perdifficile eſt, præſertim tanta cũ difficultate inductã. At mihi plures etiã his anni ſunt.[34] Sed ſit ita ſané:age,quid tibi venit in mentẽ, ut de cõmerciis cognoſcere & ſtatuere velles? Non enim(ut opinor)te hoc etiã magiſter ille tuus docuit, qui neq; regnaturũ eſſe te ſciebat. Induxit me ille malus ſenex, quem vos

34 Iteratur objectio de injuſtitia prohibita, & ex aliis cauſſis ſolvitur.

tanquam principem vitæ meæ, morumque auctorem jure mecũ accuſatis: quãquam & ipſe profectó ab aliis in eãdem fraudem inductus fuerat. Sæpe, credó, nomina hæc audita vobis ſunt, tantopere videlicet exagitata & deriſa, Plato, Socrates, Ariſtoteles, Theophraſtus. Illis ſenex iſte cúm nimis ſtulté ac ſimpliciter obtemperaſſet, poſteaque me puerum, & diſcendi deſiderio incẽſum nactus eſſet, perſuaſit, ſi illorũ veſtigiis vellem inſiſtere, meliorẽ me, non quidẽ cæteris hominibus fortaſſe (neque enim cum illis certamẽ mihi eſſe) ſed meipſo omnino futurũ. Ego veró (quid enim aliud feciſſem?) obſecutus ſeni, non poſſum jam quippiam mutare, quãvis maximé cupiã, ac meipſum incuſo, quód omni vitiorum generi liberum iter non patefaciam. Sed in mentem veniũt ea, quæ apud Platonem Atheniẽſis hoſpes diſſerit. Dignus eſt honore is, qui nihil peccat: qui veró alios etiam deterret ab injuria, plus quám duplici honore dignus eſt: ille enim uni, hic pluribus dignitate par eſt, qui ſcelus aliorum indicat magiſtratibus: At qui ſociũ prætereá ſe iis adhibet in punienda & coërcenda inju-

ἐπιτηδευμάτων, ὀρθῶς ποιοῦντες, συλλοιδορεῖτέ μοι, καὶ τοῦτον δὴ εὖ ἴστε ὑπ' ἄλλων ἐξηπατημένον. ὀνόματα ἤκει πρὸς ὑμᾶς πολλάκις κωμῳδούμενα, Πλάτων, καὶ Σωκράτης, καὶ Ἀριστοτέλης, καὶ Θεόφραστος· ἐκείνοις ὁ γέρων οὗτος πεισθεὶς ὑπ' ἀφροσύνης, ἔπειτα ἐμὲ νέον εὑρὼν, ἐραστὴν λόγων, ἀνέπεισεν ὡς εἰ τὰ πάντα ἐκείνοις ζηλωτὴς γενοίμην, ἀμείνων ἔσομαι, τῶν μὲν ἄλλων ἀνθρώπων ἴσως οὐδενὸς· οὐ γὰρ εἶναί μοι πρὸς αὐτοὺς τὴν ἅμιλλαν· ἐμαυτοῦ δὲ πάντως. ἐγὼ δέ· οὐ γὰρ εἶχον ὅ,τι ποιῶ· πεισθεὶς, οὐκέτι δύναμαι μεταθέσθαι, καὶ ταῦτα ἐθέλων πολλάκις, ἀλλ' ὀνειδίζω μὲν ἐμαυτῷ, διότι μὴ ποιῶ πᾶσαν ἄδειαν ἁπάντων ἀδικημάτων. ὕπεισι δέ μοι ἐκ τοῦ [35] Πλάτωνος, ὅσα Ἀθηναῖος διεξῆλθε ξένος, Τίμιος μὲν δὴ καὶ ὁ μηδὲν ἀδικῶν, ὁ δὲ μηδ' ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου. ὁ μὲν γὰρ ἑνὸς, ὁ δὲ πολλῶν ἀντάξιος ἑτέρων, μηνύων τὴν τῶν ἄλλων τοῖς ἄρχουσιν ἀδικίαν. ὁ δὲ καὶ ξυγκολάζων εἰς δύναμιν

[35] Locus est lib. 5. de Legibus.

στερον τοῦ λέγοντος, κοινωνὸς ἐστι τῆς αἰτίας. εἴρηται οὖν ὑμῖν δι᾽ ὅλης καὶ ἠκρόαται τῆς πόλεως, ὁπόσα εἰς τουτονὶ πέπαικται τὸν φαῦλον πώγωνα, καὶ τὸν οὐδὲν ἐπιδείξαντα ὑμῖν καλὸν, οὐδὲ ἐπιδείξοντα τρόπον. οὐ γὰρ ἐπιδείξῃ βίον ὑμῖν, ὁποῖον ὑμεῖς ἀεὶ μὲν ζῆτε, ποθεῖτε δ᾽ ὁρᾶν καὶ ἐν τοῖς ἄρχουσιν. ὑπὲρ μὲν δὴ τῶν βλασφημιῶν, ἃς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεχέατέ μου παίζοντες ἐν τοῖς ἀναπαίστοις, ἐμαυτοῦ προσκατηγορήσας, ὑμῖν ἐπιτρέπω χρῆσθαι μετὰ μείζονος αὐτοῦ παρρησίας. ὡς οὐδὲν ὑμᾶς ἐγὼ διὰ τοῦτο πώποτε δεινὸν ἐργάσομαι σφάττων, ἢ τύπτων, ἢ δέων, ἢ ἀποκλείων, ἢ κολάζων· πῶς γάρ; ὡς ἐπείπερ ὑμῖν ἐμαυτὸν ἐπιδείξας μετὰ τῶν φίλων σωφρονοῦντα, φαυλότατον ἰδεῖν ὑμῖν καὶ ἀηδέστατον, οὐδὲν δ᾽ ἐπέδειξα καλὸν θέαμα, μεταστῆναι τὴν πόλιν ἔγνωκα καὶ ὑποχωρῆσαι, πεπεισμένος μὲν οὐδαμῶς ὅτι πάντως ἐκείνοις ἀρέσω, πρὸς οὓς πορεύομαι, κρίνων δ᾽ αἱρετώτερον εἰ διαμάρτοιμι τοῦ δόξαι γοῦν ἐκείνοις καλὸς καὶ ἀγαθὸς, ἐν μέρει μεταδοῦναι

πᾶσι τῆς ἀϊδίας τῆς ἐμαυτοῦ, καὶ μὴ τὴν εὐδαίμονα ταύτην ἀποκναῖσαι πόλιν, ὥσπερ ὑπὸ δυσωδίας τῆς ἐμῆς μετριότητος, καὶ τῶν ἐμῶν ἐπιτηδείων τῆς σωφροσύνης. ἡμῶν γὰρ οὐδεὶς ἀγρὸν, οὐδὲ κῆπον ἐπρίατο παρ' ὑμῖν, οὐδὲ οἰκίαν ᾠκοδόμησεν, οὐδ' ἔγημε παρ' ὑμῶν, οὐδ' ἐξέδωκεν εἰς ὑμᾶς, οὐδὲ ἠράσθημεν τῶν παρ' ὑμῖν καλῶν, οὐδ' ἐζηλώσαμεν ἀσσύριον πλοῦτον, οὐδ' ἐνεμησάμεθα τὰς προστασίας, οὐδὲ παραδυναστεύειν ὑμῖν ἀνεχόμεθα τινὰς τῶν ἐν τέλει, οὐδ' ἐπείσαμεν τὸν δῆμον εἰς παρασκευὰς δείπνων ἢ θεάτρων, ὃν οὕτως ἐποιήσαμεν τρυφᾶν, ὥστε ἄγων σχολὴν ἀπὸ ἐνδείας τῶν ἀναπαίστων εἰς τοὺς αἰτίους αὐτῶν τῆς εὐθηνίας ξυνέθηκεν, οὐδ' ἐπεγράψαμεν χρυσίον, οὐδὲ ᾐτήσαμεν ἀργύριον, οὐδὲ ηὐξήσαμεν φόρους, ἀλλὰ πρὸς τοῖς ἐλλείμμασιν ἀφεῖται πᾶσι τῶν εἰθισμένων εἰσφορῶν τὸ πέμπτον. οὐκ, οἶμαι, δὴ ἐξαρκεῖν τὸ σωφρονεῖν ἐμὲ, μέτριον ἔχω ναὶ μὰ Δία καὶ θεοὺς, ὡς ἐμαυτὸν πείθω, τὸν εἰσαγγελέα, κομψῶς ὑφ' ὑμῶν ἐπιτιμηθέντα, διότι γέρων ὢν καὶ φαλακρὸς

λακρὸς

omnibus meæ inſuavitatis aliquid impertire, neque hanc beatam civitatem prorſus tãquam fœtore modeſtiæ meæ, meorumque familiarium temperantia conficere. Noſtrum enim nemo agrum, nemo hortum apud vos coëmit, neque domum ædificavit, neque uxorem á vobis duxit, aut dedit, neque ea quæ apud vos pulchra ſunt, amavimus, neque Aſſyrias opes expetivimus, neque præfecturas depaſti ſumus, neque abuti poteſtate ſua erga vos magiſtratum aliquem paſſi ſumus, neque populo ſplendidorum conviviorũ, theatrorumve auctores fuimus, imó tãtam ei immunitatem & ubertatem rerum omnium dedimus, ut liber ab inopiæ metu, anapæſtos luſerit in eos, qui tantúm bonorũ ei largiti ſunt: non aurum imperavimus, non argentum exegimus, neque tributa amplificavimus, ſed præter reſiduum nondum perſolutum, quintam de conſuetis vectigalibus partẽ remiſimus. Nec veró ſatis eſſe putavi, me temperantem eſſe, procuratorem habeo prætereá abſtinẽtiſſimum per deos, ac moderatiſsimum, ut equidẽ mihi perſuadeo, quem tamen

vos acerbé accuſaſtis, quod ſenex, & fronte ſenſim calveſcens, tamen pro inſita mentis duritie non erubeſcat, cúm comam geſtet in occipitio, ſicuti Homerus facit Abantas. Neque illo deteriores duos treſve domi apud me habeo, imó quatuor: ac ſi quintum etiam vultis, is eſt [48] avunculus meus, eodem mecum nomine, qui vobis præfuit æquiſsimé quandiu ei dii dederunt uná nobiſcum eſſe, remque publicam adminiſtrare, tametſi non magna prudentia civitatis res procuraverit. Ac nobis quidem præclara hæc videbantur, imperare civibus manſueté ac leniter, atque his rationibus pulchros nos ſatis viſum iri vobis ſperabamus. Verúm poſteaquám barbæ prolixitas, comæ neglectio, odium ſpectaculorum, ſtudium pietatis & honoris in templis conſervandi, cura æquitatis in judiciis tuendæ, ſummum avaritiæ foro pellẽdæ deſiderium vos in me tantopere commovet, cedam urbe perlibenter. Neque enim eſſet facilé, ſi in ſenectute mores cõmutarem, fabulam de milvo tritã effugere.

Iliad. C.

[48] *Hujus meminit ſuprá.*

Ajunt

λακρὸς ἠρέμα τὰ πρόσω, διὰ δυστροπίαν οὐκ αἰσχύνεται, κομῶν τὰ ἐξόπισθεν, ὥσπερ Ὅμηρος ἐποίησε τοὺς Ἄβαντας, οὐδ' ἐκείνου φαυλοτέρους ἄνδρας οἴκοι παρ' ἐμαυτῷ δύο καὶ τρεῖς, ἀλλὰ καὶ τέτταρας· εἰ βούλεσθε δὲ νυνὶ καὶ πέμπτον, ὅδ' ἐμοὶ θεῖος καὶ ὁμώνυμος, ὃς δικαιότατα μὲν ὑμῶν προέστη μέχρις ἐπέτρεπον οἱ θεοὶ ξυνεῖναι ἡμῖν αὐτὸν καὶ συμπράττειν, οὐ προμηθέστατα δὲ πάσαις ἐπέστη ταῖς οἰκονομίαις τῆς πόλεως. ἡμῖν μὲν οὖν ἐδόκει ταῦτα καλά, πρᾳότερα ἄρχειν τῶν πολιτῶν μετὰ σωφροσύνης, ᾠόμεθά τε ὑμῖν ἱκανῶς διὰ τούτων καλοὶ φανεῖσθαι τῶν ἐπιτηδευμάτων. ἐπεὶ δὲ ὑμᾶς ἥτε βαθύτης ἀπαρέσκει τοῦ γενείου, καὶ τὸ ἀθυμέλητον τῶν πειγῶν, καὶ τὸ μὴ παραβάλλειν τοῖς θεάτροις, καὶ τὸ ἀξιοῦν ἐν τοῖς ἱεροῖς εἶναι σεμνούς, καὶ πρὸ τούτων ἁπάντων ἡ περὶ τὰς κρίσεις ἡμῶν ἀσχολία, καὶ τὸ τῆς ἀγορᾶς εἴργειν τὴν πλεονεξίαν, ἑκόντες ὑμῖν ἐξιστάμεθα τῆς πόλεως. οὐ γάρ, οἶμαι, ῥᾴδιον ἐν γήρᾳ μεταθεμένῳ, διαφυγεῖν τὸν λεγόμενον ὑπὸ τοῦ ἰκτῖνος μῦθον.

λέγε-

λέγεται γάρ τοι καὶ τὸν ἴκτινα φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν, ἐπιθέσθαι τῷ χρεμετίζειν, ὥσπερ οἱ γενναῖοι τῶν ἵππων, εἶτα τοῦ μὲν ἐπιλαθόμενον, τὸ δὲ μὴ δυνηθέντα ἑλεῖν ἱκανῶς, ἀμφοῖν στέρεσθαι, καὶ φαυλοτέραν εἶναι τῶν ἄλλων ὀρνίθων τὴν φωνήν. ὃ δὴ καὶ αὐτὸς εὐλαβοῦμαι παθεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος ἁμαρτεῖν. ἤδη γάρ· ὡς καὶ ὑμεῖς συνορᾶτε· πλησίον ἐσμὲν, ἐθελόντων θεῶν,

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες,

ὁ Τήιος ἔφη ποιητής. Εἶεν, ἀλλὰ τῆς ἀγροικίας, πρὸς θεῶν καὶ Διὸς ἀγοραίου καὶ πολιούχου, ὑπόσχετε λόγον, ἠδίκησθέ τι παρ᾽ ἐμοῦ κοινῇ πώποτε καὶ ἰδίᾳ, καὶ δίκην ὑπὲρ τούτου λαβεῖν οὐ δυνάμενοι φανερῶς, διὰ τῶν ἀναπαίστων ἡμᾶς, ὥσπερ οἱ κωμῳδοὶ τὸν Ἡρακλέα καὶ τὸν Διόνυσον ἕλκουσι καὶ περιφέρουσιν, οὕτω δὴ καὶ ὑμεῖς ἐν ταῖς ἀγοραῖς ἐπιτρίβετε λοιδοροῦντες; ἢ τοῦ μὲν ποιεῖν τι χαλεπὸν εἰς ὑμᾶς ἀπεσχόμην, ἵνα μὴ καὶ ὑ-

μεῖς

Ajunt enim milvum, cúm vocem ſimilem haberet cæteris avibus, hinnitum inſtar equorum nobilium appetiiſſe: poſtea cúm illam amiſiſſet, neque hunc ſatis conſequi poſſet, utroque excidiſſe, atque omnium avium poſtremum in canendo extitiſſe. Quod ne mihi accidat, valdé vereor, ut nempe ruſticitate amiſſa, ab elegantia & urbanitate aberrem. Jam enim, ſicut ipſi videtis, ad id tempus pervenimus diis volentibus,

Quo mihi cani capilli ſociabuntur cum nigris, *Trochaicus tetrameter catalecticus.*

ut ait Teïus poëta. Verumenimveró per deos immortales, per Jovẽ fori præſidem, atque urbis hujus cuſtodem, quænam tam ingrati tamque offenſi in nos animi cauſſa eſt? an injuria aliqua publicé aut privatim á me unquam affecti eſtis, quam cúm aperté ulciſci non poſſitis, anapæſtis in nos, ſicut Comici Dionyſium & Herculem ferunt aguntque, ſic, inquam, vos in foro conviciis aſſidué in nos debacchamini? An iccircó me continui, ne gravius quippiam in vos

vos ſtatuerem, quó me ad idem genus ultionis adigeretis? Quænam eſt igitur cauſſa veſtræ in nos offenſionis atque invidiæ? Ego enim certó ſcio nihil á me in vos commiſſum eſſe durius aut gravius, neque privatim in ſingulos, neque publicé in univerſos ullo genere maledicti, imó & laude affeci, quantum viſum eſt convenire, ac de Chriſto quodam conceſſi tantum, quantum erat æquum ei, qui pro viribus cupit de multis benemereri. Fieri autem non poteſt, mihi credite, ut & iis qui vectigalia pendunt, omnia condonentur, & qui accipere conſueverunt, dentur omnia. Cúm igitur videar publicas largitiones, quas regius ſumptus facere conſuevit, nihil imminuiſſe, tributa autem vobis nõ pauca remiſiſſe, nónne res admirabilis, atque ænigmati ſimilis videatur? Sed quæ fuerint noſtra in omnes cives merita, nihil attinet hoc tempore referre, ut ne videar tanquã de induſtria meas laudes ore proprio cõmemorare, cúm præſertim cõtumelias & probra in me cõjicere ſtatuerim: [49] At quæ temeré, &

[49] *Sequitur ſeria vituperatio: Qui bene facit ingratis, ſtultus eſt: At ego vos laudavi, auxi, alui: Stulté itaque feci.*

μεῖς ἐξεβιάσθητε διὰ τὴν αὐτῶν ἰόντα ἀμύνασθαι; τίς οὖν ὑμῖν ἐστιν αἰτία τοῦ πρὸς ἡμᾶς προσκρούσματος καὶ τῆς ἀπεχθείας; ἐγὼ γὰρ οἶδα εὖ δεινὸν οὐδένα ὑμῶν οὐδὲν, οὐδὲ ἀνήκεστον ἐργασάμενον, οὔτε ἰδίᾳ τοὺς ἄνδρας, οὔτε κοινῇ τὴν πόλιν, εἰπὼν οὐδὲν φλαῦρον, ἀλλὰ καὶ ἐπαινέσας, ὡς ἔδοξέ μοι προσήκειν, καὶ μεταδοὺς χρυσοῦ τινὸς ὅσον εἰκὸς ἦν τὸν ἐπιθυμοῦντα μὲν τοῦ δυνατοῦ πολλοὺς εὖ ποιεῖν ἀνθρώποις. ἀδύνατον δὲ εὖ ἴστε καὶ τοῖς εἰσφέρουσι συγχωρεῖν ἅπαντα, καὶ διδόναι πάντα τοῖς εἰωθόσι λαμβάνειν. ὅταν οὖν φανῶ μηδὲν ἐλαττώσας τῶν δημοσίων συντάξεων, ὅσα εἴωθεν ἡ βασιλικὴ νέμειν δαπάνη, ὑμῖν δὲ ἀνεὶς τῶν εἰσφορῶν οὐκ ὀλίγα, ἆρ' οὐκ αἰνίγματι τὸ πρᾶγμα ἔοικεν; ἀλλ' ὁπόσα μὲν κοινῇ πρὸς πάντας πεποίηται τοὺς ἀρχομένους ὑπ' ἐμοῦ, πρέποι ἂν σιωπᾶν, ἵνα μὴ δοκοίην, ὥσπερ ἐξεπίτηδες, αὐτοπρόσωπον ἐπαίνους ᾄδειν ἐμαυτοῦ, καὶ ταῦτα ἐπαγγειλάμενος πολλὰς καὶ ἀσελγεστάτας ὕβρεις καταχέαι. τὰ δὲ ἰδίᾳ μοι πρὸς ὑμᾶς προπε-

τῶς

τῶς πεποιημένα καὶ ἀνοήτως, ἥκιστα μὲν ὑφ' ὑμῶν ἄξια ἀγελιστεῖσθαι, πρέποι δ' ἂν, οἶμαι, προσφέρειν, ὥσπερ τινὰ ἐμὰ ὀνείδη τοσούτῳ τῶν ἔμπροσθεν χαλεπώτερα, τοῦτε αὐχμοῦ τοῦ περὶ τὸ πρόσωπον, καὶ τῆς ἀναφροδισίας, ὅσῳ καὶ ἀληθέστερα ὄντα τῇ ψυχῇ μάλιστα προσήκει. καὶ δὴ πρότερον ἐπῄνουν ὑμᾶς, ὡς ἐνεδέχετό μοι φιλοτίμως, οὐκ ἀναμείνας τὴν πεῖραν, οὐδ' ὅπως ἕξομεν πρὸς ἀλλήλους ἐνθυμηθεὶς, ἀλλὰ νομίσας ὑμᾶς μὲν ἑλλήνων παῖδας, ἐμαυτὸν δὲ, εἰ καὶ γένος μοι ἐστὶ θράκιον, ἕλληνα τοῖς ἐπιτηδεύμασιν. ὑπελάμβανον οὖν ὅτι μάλιστα ἀλλήλους ἡμᾶς ἀγαπήσειν. ἓν μὲν δὴ τοῦτο ἔστω μοι τῆς προπετείας ὄνειδος. ἔπειτα πρεσβευσαμένοις ὑμῖν παρ' ἐμὲ, καὶ ἀφικομένοις ὑστέροις οὐ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ Ἀλεξανδρέων τῶν ἐπ' Αἰγύπτῳ, πολὺ μὲν αὐτίκα χρυσίον, πολὺ δ' ἀργύριον, φόρους παμπληθεῖς ἰδίᾳ παρὰ τὰς ἄλλας πόλεις, ἔπειτα τοῦ βουλευτηρίου τὸν κατάλογον διακοσίοις βουλευταῖς ἀνεπλήρωσα, φεισάμενος οὐδενός· ἐσκόπουν

γὰρ

ré & imprudenter erga vos geſſi, quanquam odio veſtro, ut arbitror, digna non erant, tamen non alienum fuerit proferre, quód probra mea ſint, tantoque ſuperioribus, ſqualorem vultus dico, & veneris odium, majora, quantó veriora ſunt, animumque attingunt. Ac primúm vos laudabam, quoad poteram cupidé & vehementer, cúm neque periculum veſtri feciſſem, neque quemadmodum inter nos convenire poſſet, cogitaſſem, ſola hac fretus opinione, quód & vos genere Græci eſſetis, ego veró & ſi Thrax origine, attamen vita & factis Græcus eſſem. Itaque ſuſpicabar fore, ut inter nos amaremus. Ergo hoc unum temeritatis meæ vitium eſto. Deinde, cúm legatos ad me omnium poſtremi miſiſſetis, etiam Alexandrinorum, qui ſunt ad Ægyptũ, tamen multũ vobis auri & argenti, multa vectigalia peculiari beneficio præter alias civitates remiſi: prætereá Senatorũ numerum ad ducentos auxi, neque ulli rei peperci: id enim unum ſpectabam,

ut majorem potentioremque civitatem veſtram redderem. Itaque dedi vobis ex iis qui theſauros meos procuraverant, & qui numum fecerant, locupletiſſimos, ut eis uteremini: At vos non eos qui poterant, accepiſtis, ſed occaſione capta ea feciſtis, quæ neque á malé inſtituta civitate, neque á veſtris moribus aliena erant. Vultis unum ex iis vobis in memoriam revocem? Cúm Senatorem quendam nominaviſſetis, antequám numero aſcriberetur, cauſſa adhuc dubia, eum accepiſtis, & aliorum quorũdam hominum opera in forum pertraxiſtis, egentem, ab omnibus derelictum, ex eorum grege, qui vobis ob ſingularem prudentiam vendunt inopem plebeculam, tenuis fortunæ hominem vobis ſocium adjunxiſtis. Atque ejuſmodi alia multa in nominando cúm peccaretis, neque omhia vobis concederemus, tum ſuperiorum benefactorũ gratiam perdidimus, tũ ob ea quæ vobis remiſimus atque cõdonavimus,

γὰρ ὅπως ἡ πόλις ὑμῶν ἔσται μείζων καὶ δυνατωτέρα. δέδωκα οὖν ὑμῖν ἀπὸ τῶν ἐπιτροπευσάντων τοὺς θησαυροὺς τοὺς ἐμοὺς, καὶ ἀπὸ τῶν ἐργασαμένων τὸ νόμισμα, τοὺς πλουσιωτάτους ἑλομένους ἔχειν· ὑμεῖς δὲ ἐκείνων μὲν οὐ τοὺς δυναμένους εἵλεσθε, λαβόμενοι δὲ τῆς ἀφορμῆς, εἰργάσασθε παραπλήσια πόλει μὲν οὐδαμῶς εὐνομουμένῃ, πρέποντα δὲ ὑμῶν ἄλλως τῷ τρόπῳ. βούλεσθε ἑνὸς ὑμᾶς ὑπομνήσω, βουλευτὴν ὀνομάσαντες, πρὶν προσγραφῆναι τῷ καταλόγῳ, μετεώρου τῆς δίκης οὔσης, ὑπελάβετε, καὶ λειτουργίᾳ τῶν ἀνθρώπων ἄλλων ἐπ' ἀγορᾶς εἱλκύσατε, πένητα, ἐκ τῶν ἀπανταχοῦ μὲν ἀπολελειμμένων, παρ' ὑμῖν δὲ διὰ περιττὴν φρόνησιν ἀμειβομένων πρὸς χεῖρον συρφετὸν * ἀπορρέοντα, μετρίας οὐσίας εἵλεσθε κοινωνόν. πολλὰ τοιαῦτα περὶ τὰς ὀνομασίας κακουργούντων ὑμῶν, ἐπεὶ μὴ τὰ πρὸς ἅπαντας συνεχωρήσαμεν, ὧν τε εὖ εἰργασάμεθα τὴν χάριν ἀπεστερήθημεν, καὶ ὧν ἀπεσχόμεθα σὺν δίκῃ πρᾶξαι, παρ' ὑμῶν δυ-

* ἐγρ. ἐκπορεῦντα

χειρωνόμεθα. καὶ ταῦτα μὲν ἦν τῶν μικρῶν πάνυ, καὶ οὔπω δυνάμενα τὴν πόλιν ἐκπολεμῶσαι. τόδε δὴ μέγιστον, ἐξ οὗ τὸ μέγα ἤρθη μῖσος· ἀφικομένου μου πρὸς ὑμᾶς, ὁ δῆμος ἐν τῷ θεάτρῳ πνιγόμενος ὑπὸ τῶν πλουσίων, ἀφῆκε φωνὴν πρῶτον ταύτην, Πάντα γέμει, πάντα πολλοῦ. τῆς ἐπιούσης διελέχθην ἐγὼ τοῖς δυνατοῖς ὑμῶν, ἐπιχειρῶν πείθειν, ὅτι κρεῖττόν ἐστιν ὑπεριδόντας ἀδίκου κτήσεως, εὖ ποιῆσαι πολίτας καὶ ξένους. οἱ δὲ ἐπαγγειλάμενοι τοῦ πράγματος ἐπιμελήσεσθαι, μηνῶν ἐξῆς τριῶν ὑπεριδόντος μου καὶ περιμείναντος, οὕτως ὀλιγώρως ἔσχον τοῦ πράγματος, ὡς οὐδεὶς ἂν ἤλπισεν. ἐπεὶ δ' ἑώρων ἀληθῆ τὴν τοῦ δήμου φωνὴν, καὶ τὴν ἀγορὰν οὐχ ὑπ' ἐνδείας, ἀλλ' ὑπ' ἀπληστίας τῶν κεκτημένων στενοχωρουμένην, ἔταξα μέτριον ἑκάστου τίμημα, καὶ δῆλον ἐποίησα πᾶσιν. ἐπεὶ δ' ἦν τὰ μὲν ἄλλα πολλὰ παρ' αὐτοῖς πάνυ· καὶ γὰρ ἦν οἶνος καὶ ἔλαιον, καὶ τὰ λοιπὰ πάντα· σίτου δ' ἐνδεῶς εἶχον, ἀφορίας δεινῆς ὑπὸ τῶν ἔμπροσθεν αὐχμῶν γενομέ-

vimus, irati nobis eſtis. Verúm hæc & parva erant, & ad civitatem in nos concitandam non ſatis virium habere videbantur. Hoc autem maximum fuit, & magnæ invidiæ argumentum: Cúm ego ad vos veniſſem, populus in theatro á divitibus oppreſſus, vocem primúm iſtam emiſit, Omnia plena ſunt, omnia magno conſtant. Poſtero die cum veſtris divitibus collocutus ſum, & magnopere eis perſuadere conatus, ut ſpreto iniquo quæſtu, civibus atque exteris conſulere vellent. Illi rem ſe curaturos polliciti, cúm ego ſuperſediſſem eo labore, tertiumque menſem expectaſſem, adeó negligentes fuerunt, ut nullus id ſperare potuiſſet. At ego cúm viderem populi vocem veram eſſe, neque forum inopia, ſed locupletum avaritia premi, moderatius rei cuique pretium conſtitui, atque id omnibus notum feci. Cúmque cæterarum rerum magna eſſet copia (erat enim vinum, oleum, cæteraque omnia) frumenti autem inopia, propterea quód ſuperior anni tempeſtas pauló aridior, magnam agrorum ſterilitatem effecerat, mitten-

dum in Chalcidem, Hierapolin, cæteraſque finitimas urbes putavi: Inde vobis menſurarum quadringẽta millia intuli: quo conſumpto numero, primúm quinque millia, deinde ſeptẽ millia, poſtremó nunc decem millia módium, ut vos jam nominare conſueſtis, quod omne triticum ex Ægypto allatum ad me fuerat, domo mea eductum civitati donavi, neque pro decem menſuris, ſed pro quindecim tantum argenti, quantũ anteá pro decẽ accipi ſolebat, exegi. Quód ſi tot menſuræ nomiſmate apud vos jam tum in æſtate conſtabant, quid ſperandũ erat fore tũ, cúm (ut ait Bœotius poëta) fames ſæva eſt in ædibus? Nónne quinque menſuras vix, & perlibenter accepiſſetis, tãta præſertim hyeme, quanta deinceps conſecuta eſt? Cur igitur veſtri divites frumẽtum, quod in agris habebant, clã vendebant, Rempublicam autem ſuis ſumptibus vexabant? Neque veró civitas tãtúm ſed etiã plebs ex agris undique confluit ad panẽ, cujus unius magna eſt & copia, & vilitas, coëmendum. Quanquam quis unquam veſtrum, abũdanti etiã copioſaq; civitate, memi-

της, ἔδοξέ μοι πέμπειν εἰς Χαλκίδα, καὶ Ἱεράπολιν, καὶ πόλεις τὰς πέριξ. ἔνθεν εἰσήγαγον ὑμῖν μέτρων τετταράκοντα μυριάδας. ὡς δ' ἀνήλωτο καὶ τοῦτο, πρότερον μὲν πεντάκις χιλίους, ἑπτάκις χιλίους δ' ὕστερον, εἶτα νῦν μυρίους, οὓς ἐπιχώριόν ἐστι λοιπὸν ὀνομάζειν μοδίους, πάντα οἴκοθεν ἔχων ἀπὸ τῆς Αἰγύπτου κομισθέντα μοι σῖτον, ἔδωκα τῇ πόλει, πραττόμενος ἀργύριον οὐ κατὰ δέκα μέτρα, ἀλλὰ πεντεκαίδεκα τοσοῦτον, ὅσον ἐπὶ τῶν δέκα πρότερον. εἰ δὲ τοσαῦτα μέτρα θέρους ἦν παρ' ὑμῖν τοῦ νομίσματος, τί προσδοκᾶν ἔδει τηνικαῦτα, ἡνίκα φησὶν ὁ Βοιώτιος ποιητὴς· χαλεπὸν γίνεσθαι τὸν λιμὸν ἐπὶ * δώματι; ἆρ' οὐ πέντε μόγις καὶ ἀγαπητῶς, ἄλλως τε καὶ τηλικούτου χειμῶνος ἐπιγενομένου; τί οὖν ὑμῶν οἱ πλούσιοι τὸν μὲν ἐπὶ τῶν ἀγρῶν σῖτον λάθρα ἀπέδοντο, ἐβάρυναν δὲ τὸ κοινὸν τοῖς ἰδίοις ἀναλώμασι; καὶ οὐχ ἡ πόλις μόνον ἐπὶ τοῦτο συρρεῖ, οἱ πλεῖστοι δὲ καὶ ἐκ τῶν ἀγρῶν συντρέχουσιν, ὃ μόνον ἐστὶν εὑρεῖν πολὺ καὶ εὔωνον, ἄρτους ὠνούμενοι. καίτοι τίς μέμνη-

ἐγρ. δράματι

ται παρ' ὑμῖν εὐθηνουμένης τῆς πόλεως πεντεκαίδεκα μέτρα σίτου πραθέντα τοῦ χρυσοῦ; ταύτης ἕνεκεν ὑμῖν ἀπηχθόμην ἐγὼ τῆς πράξεως, ὅτι τὸν οἶνον ὑμῖν οὐκ ἐπέτρεψα, καὶ τὰ λάχανα, καὶ τὰς ὀπώρας ἀποδίδοσθαι χρυσοῦ, καὶ τὸν ὑπὸ τῶν πλουσίων ἀποκεκλεισμένον ἐν ταῖς ἀποθήκαις σῖτον, ἄργυρον αὐτοῖς καὶ χρυσὸν ἐξαίφνης παρ' ὑμῖν γενέσθαι. ἐκεῖνοι μὲν γὰρ αὐτὸν ἔξω τῆς πόλεως διέθεντο καλῶς, ἐργασάμενοι τοῖς ἀνθρώποις λιμὸν ἀμυκλῆεα βροτείων, ὡς ὁ θεὸς ἔφη, τοὺς ταῦτα ἐπιτηδεύοντας ἐξελέγχων. ἡ πόλις δ' ἐν ἀφθονίᾳ γέγονεν ἄρτων ἕνεκα μόνον, ἄλλου δ' οὐδενός. τοῦτο συνίειν μὲν οὖν καὶ τότε ταῦτα ποιῶν, ὅτι μὴ πᾶσιν ἀρέσκοιμι, πλὴν ἔμελλεν οὐδὲν ἐμοί. τῷ γὰρ ἀδικουμένῳ πλήθει βοηθεῖν ᾤμην χρῆναι, καὶ τοῖς ἀφικνουμένοις ξένοις, ἐμοῦ τε ἕνεκα, καὶ τῶν συνόντων ἡμῖν ἀρχόντων. ἐπεὶ δ' οἶμαι, συμβαίνει τοὺς μὲν ἀπιέναι, τὴν πόλιν δ' εἶναι τὰ πρὸς ἐμὲ γνώμης μιᾶς· οἱ μὲν γὰρ μισοῦσιν,
γρ. ἀχρυσοῦσιν. οἱ δ' ὑπ' ἐμοῦ τραφέντες * ἀχαριστοῦσιν·

ἀδρα-

meminit quindecim tritici mēſuras aureo vænire? Hanc ob cauſſam ego vobis eram inviſus, quód non ſum paſſus vinum, olera & fructus autumnales auro vendi, neque frumentum á divitibus in horrea concluſum, repenté illis in argentum & aurum converti. Illi enim pulchré id extra urbem vendiderunt, & hominibus attulere famem vexatricem mortalium, ut Deus cecinit, hujus generis homines arguens: At civitas pane quidem abundabat, prætereá nihil habebat. Atque id equidem jam tum, cúm illas res agerem, proſpiciebam, nōnullis me parum gratū fore, verúm nihil ea res mihi curæ erat, quód in animo haberē plebi oppreſſæ, & exteris qui mecum venerant, tum mea cauſſa, tum magiſtratuū qui mecū erant, opem ferre. Verúm quando ita tulit caſus, ut & illi abierint, & civitas in me tota conſenſerit (alii ſiquidem odio, alii á me nutriti ingrato animo me proſequuntur)

fatis

fatis omnia committens, ad aliam gentem & populum me confero, nihil vobis commemorans eorum, quæ ante annos decem juſté in vos ipſi perpetraſtis, [50] cúm populus in locupletum domos cum clamore flãmas inferret, magiſtratum necaret: viciſſimque ob hæc ipſa, quæ iratus juſté, ſed immoderaté geſſerat, pœnas ſuſciperet. Quam tandem igitur ob cauſſam tantopere nobis infenſi eſtis? An quia vos domo noſtra alimus, quod civitati adhuc contigit nemini, & alimus tam liberaliter ac magnificé? An quód numerum veſtrum auximus? An quód fures quos deprehenderamus, minimé ulti fuimus? Vultis unum aut alterum commemorem, nequis forté rhetoricũ colorem fictionemque eſſe arbitretur? Agri jugerum tria millia infructuoſa eſſe dixiſtis, vobiſque concedi poſtulaſtis, cúm veró id obtinuiſtis, divites ſoli cæteris fraudatis ea uſurpaſtis. Hoc á me inquiſitum, plané compertũ eſt. Ego autẽ illos agros injuſtis poſſeſſoribus ereptos, nihilq; de ſupe-

[50] *Hujus incendii meminit Marcell.* 14.

ἀδραστείᾳ πάντα ἐπιτρέψας, εἰς δύο ἔθνος οἰχήσομαι καὶ δῆμον ἕτερον, οὐδὲν ὑμᾶς ὑπομνήσας, ὧν ἐνιαυτοῖς ἔμπροσθεν ἐννέα, δίκαια δρῶντες, εἰς ἀλλήλους εἰργάσασθε, φέρων μὲν ὁ δῆμος ἐπὶ τὰς οἰκίας τῶν δυνατῶν σὺν βοῇ τὴν φλόγα, καὶ ἀποκτιννὺς τὸν ἄρχοντα, δίκην δὲ ἀποτίνων αὖθις ὑπὲρ τούτων, ὧν ὀργιζόμενος δικαίως ἔπραξεν, οὐκέτι μετρίως. ὑπὲρ τίνος οὖν πρὸς θεῶν ἀχαριστούμεθα; ὅτι τρέφομεν ὑμᾶς οἴκοθεν, ὃ μέχρι σήμερον ὑπῆρξεν οὐδεμιᾷ πόλει, καὶ τρέφομεν οὕτω λαμπρῶς; ὅτι τὸν κατάλογον ὑμῶν ηὐξήσαμεν; ὅτι κλέπτοντας ἑλόντες, οὐκ ἐπεξήλθομεν; ἑνὸς ἢ δύο βούλεσθε ὑμᾶς ὑπομνήσω, μή τις ὑπολάβοι σχῆμα καὶ ῥητορείαν εἶναι καὶ παραποίησιν τὸ πρᾶγμα; γῆς κλήρους τρισχιλίους ἔφατε ἀπόρους εἶναι, καὶ ᾐτήσασθε λαβεῖν, λαβόντες δὲ ἐνείμασθε πάντες οἱ μὴ δεόμενοι. τοῦτο ἀνεξετασθὲν ἀνεφάνη σαφῶς. ἀφελόμενος δὲ αὐτοὺς ἐγὼ τῶν ἐχόντων οὐ δικαίως, καὶ πολυπραγμονήσας οὐδὲν ὑπὲρ τῶν ἔμπροσθεν

ὅθεν, ὧν ἔχον ἀτελῆς, οἷς μάλιστα ἐχρῆν ὑποτελῆς εἶναι, ταῖς βαρυτάταις ἔναγχος λειτουργίαις αὐτοὺς τῆς πόλεως. καὶ νῦν ἀτελῶς ἔχουσιν οἱ καθ' ἕκαστον ὑμῖν ἐνιαυτὸν ἱπποτροφοῦντες, γῆς κλήρους ἔχοντες τρισχιλίους, ἐπινοίᾳ μὲν καὶ οἰκονομίᾳ τοῦ θείου τοῦ μου καὶ ὁμωνύμου, χάριτι δ' ἐμῇ, ὃς δὴ τοὺς πονηροὺς καὶ κλέπτας οὕτω κολάζων, εἰκότως ὑμῖν φαίνομαι τὸν κόσμον ἀναστρέφειν. εὖ γὰρ ἴστε ὅτι ἡ πρὸς τοὺς τοιούτους πραότης, αὔξει καὶ τρέφει τὴν ἐν τοῖς ἀνθρώποις κακίαν. ὁ λόγος οὖν μοι ἐνταῦθα περιίσταται πάλιν εἰς ὅπερ βούλομαι. πάντων γὰρ τῶν κακῶν ἐμαυτῷ γίνομαι αἴτιος, εἰς ἀχαρίστους καταθέμενος ἤδη τὰς χάριτας. ἀνοίας οὖν ἐστὶ τῆς ἐμῆς τοῦτο, καὶ οὐ τῆς ὑμετέρας ἐλευθερίας. ἐγὼ μέντοι τὰ πρὸς ὑμᾶς, εἶναι πειράσομαι τοῦ λοιποῦ συνετώτερος. ὑμῖν δὲ οἱ θεοὶ τῆς εἰς ὑμᾶς εὐνοίας, καὶ τιμῆς, ἣν ἐτιμήσατε δημοσίᾳ, τὰς ἀμοιβὰς ἀποδοῖεν.

Τέλος.

ſuperiore immunitate inquirens eorum quos vectigales maximé eſſe oportebat, graviſſimis civitatis rebus adminiſtrãdis attribui. Et nunc qui apud vos quotannis equos alunt, habent immunia tria millia jugerum, partim patrui & cognominis mei prudentia ac diligentia, partim meo beneficio, qui furibus atque impoſtoribus ſic caſtigatis, jure vobis mundum videor evertere. Nam lenitas in iſtos & clementia, mihi credite, hominum improbitatẽ alit & corroborat.

Quamobrem ad id ipſum quod volebam jam redit oratio mea. Omnium etenim malorum ipſe mihi auctor ſum, cúm in animos ingratos beneficia mea contulerim. Meæ igitur ſtultitiæ, non veſtræ libertati hoc attribuendum eſt. Quapropter ego deinceps apud vos prudentior cautiorque eſſe nitar: vobis veró pro honore & benevolentia, quam mihi publicé tribuiſtis, dii parem gratiam retribuant. *Cõcluſio univerſæ vituperationis.*

FINIS.

JULIANI IMPERATORIS Epiſtolæ.

Gratulatur cuipiam amico reditum in patriam ex Ægypto.

Ego te jandudum ad Nilum veniſſe arbitrabar. Atque illud perſæpé memoria repetens, quod dicere conſuevi, O fortunatos Ægyptios, ajebam, qui Nilum habeant jampridem omnium rerum præbitorem, quas is afferre ſolet: ſed nunc multó beatiores, qui muſis tuis prætereá fruantur, nihil inferioribus Nilo, vel (ut ego ſentio) fortaſſis etiam majoribus. Ille enim terram eorum irrigando divites eos efficit: tu veró lingua tua mentes adoleſcentum excitando, ad veras opes ſapientiæ dirigis, non minus quám olim Pythagoras, cúm ad eos ſe contulit, & poſt eum Plato. Ergo hæc mecum tacitus diſſerebã, cúm tu intereá nõ longé abſens, nos lateres. Itaque ut mihi allatæ ſunt literæ tuæ, primúm mirabar, dolumque eſſe ſuſpi-

ΙΟΥΛΙΑΝΟΥ
ΑΥΤΟΚΡΑΤΟΡΟΣ
ἐπιστολαί.

ΕΓΩ μὲν ᾤμην σε τὸν Νεῖλον πάλαι κατειληφέναι. καὶ πολλάκις εἰς μνήμην λαμβάνων τοῦτο δὴ τὸ εἰωθὸς ἐμοί, ὡς εὐδαίμονες, ἔλεγον, τῶν Αἰγυπτίων οἱ παῖδες, πάλαι μὲν τὸν Νεῖλον ἔχοντες χορηγὸν τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος· νυνὶ δὲ καὶ τὴν σὴν μοῦσαν προσειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ Νείλου, παρ' ἐμοὶ δὲ κριτῇ τάχα καὶ μείζω. ὁ μὲν γὰρ τὴν χώραν αὐτῶν ἐπιρρέων πλουτεῖν ἐπιτρέπει· σὺ δὲ τῶν νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιείς, ἐπὶ τὸν τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις, οὐδὲν ἔλαττον ἢ πάλαι Πυθαγόρας αὖθις ἐπιδημῶν, καὶ μετ' ἐκεῖνον Πλάτων. ταῦτα μὲν ἐλογιζόμην. σὺ δὲ οὐ μακρὰν ἀπέχων ἐλάνθανες. ὡς δὲ ἧκεν ὁ τὴν ἐπιστολὴν ἐπιδούς, τὸ μὲν πρῶτον θαυμάζων, ἀπάτην ἡ-

γού-

γενόμενον τὸ πρᾶγμα, καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς. ὡς δὲ τοῖς γεγραμμένοις ἐντυχὼν, ἐπείσθην μὴ ἂν ἄλλου τὰς χάριτας, ἥσθην πῶς δοκεῖς; ἐγγυτέρας γὰρ αὐτὰς ἐμοὶ τοῦ σε πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας, καὶ συνέχαιρον εἰκότως, εἰ τὴν σὴν πατρίδα ζηλωτὴν μικρὸν γοῦν ἀπέφηνας χρόνον. σὺ δέ μοι δοκεῖς αὐτῆς παίζων κατηγορεῖν. ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει, καὶ ὡς τὸ ὕδωρ πίνοντας εἰς μνήμην ἄγει θαλάττης, καὶ ἄρτος ὑμῖν οὐκ κρηθῆς ἥκει μεμιγμένος, οὐκ ἀρνηθείην· καὶ ἔλαττον ἐξαγώδηταί σοι ταῦτα φαῦλα τῆς πατρίδος· ἀλλ' ὅμως ὦ βέλτιστε χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς φιλοσοφίαν ἀσκούσῃ τὴν γνώμην. ὅπως ἂν εἰδείης ποτὲ τρυφῆς αἰγυπτίας ὑπερορῶν. Ὀδυσσέα δὲ τὸν σοφὸν, νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν· καὶ τί γὰρ
Odyſſ. 1. ἄλλο ἢ τὴν Ἰθάκην; οὔτε Καλυψὼ πέπεικεν, οὔτε φύσεως ἐπὶ τὸ κρεῖττον μεταβολὴ, τὸ μὴ τὴν Ἰθάκην ἀντὶ τούτων αἱρεῖσθαι. ἀλλ' οὐδὲ Σπαρτιάτης, οἶμαι, τὴν οἴκοι δίαιταν ἐννοῶν,

τὴν

ſuſpicabar, neque ſatis meis oculis credebam: poſtea veró cúm literas perlegiſſem,tantamque ſuavitatem orationis non poſſe ab alio quám te prodire intelligerem, quanta me affectum lætitia fuiſſe putas? Videbã enim ſpem tui adventus appropinquare, ſaneque pro eo ac debebam, lætabar: quód patriã tuam ad tempus certé aliquod optabilem velles oſtendere. Quam tu quidem ludens mihi videris accuſare. Quanvis enim negare non poſſim cælum tale eſſe, quale prædicas, & aquã bibentibus maritimã videri, & panes feré hordeaceos eó afferri (quæ tu omnia, charitate patriæ impeditꝰ, verbis nõ exaggeraſti) attamẽ heus vir optime, gratia eſt habẽda huic, quæ tuum animum ad philoſophiã excoluit. Vide, ut aliquando Ægyptiorum delicias cõtemnere videare. Sapientem illum Vlyſſem cúm parvam & aſperam, denique Ithacam inſulam incoleret, tamen neque Calypſo, neq; melioris naturæ commutatio inducere potuit, ut Ithacam hiſce omnibus non anteponeret. Sed neque Spartiates ille, opinor, cúm domeſticum victum recordaretur,

Spartam accuſavit. Verúm ſcio quæ te res ad accuſandum incitet. Pecuniæ cupidus es ô bone, cumque tantillum á lucro abes, heu heu exclamas, & Nilum opeſque illinc manantes requiris. Hæc res te ſicuti ais, hoſpitem facit, & ut corpore ſis nihilo elegantiore quám Chærephon. Credo autem te á nympha quapiam amica detineri, tandemque ægré quantas vires amor habeat, ſentire. Sed hæc ſicuti Veneri libitum fuerit, ita ſunto. Tu intereá valebis, atque utinã brevi te, & quidem prolis parentẽ, ſalutemus.

Proverbium eſt, Nihil á Chærephonte differs. Dicitur in pallidos & macilentos, qualis erat Chærephon poëta, ob immodicas vigilias.

PROÆRESIO.

Excuſatur initio brevitas epiſtolæ: tum hiſtoria poſtulatur.

CVR ego Proæreſium optimum virum non ſalutabo? hominem ita in dicendo copioſum & abundantem, ut flumina cúm in patentes campos influunt? hominem Pericli omnino parem eloquentia, niſi quód Græciam nõ permiſcet? Noli autem mirari, quód Laconicæ orationis brevitatẽ erga te imitatus fuerim. Vos enim magnos & ſapientes homines decet copioſa & magnifica oratione uti: nobis ſatis eſt, ſi pauca ad

vos

τὴν Σπάρτην ἐμέμψατο. ἀλλ' οἶδα πόθεν ποτε κατηγορεῖν ἐπήρθης. φιλοχρημάτως ἔχεις ὦ λῷστε, εἶτα βραχύ τι τοῦ λήμματος ἀποστὰς, ἰοὺ ἰοὺ βοᾷς, καὶ τὸν Νεῖλον πολλάκις, καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀνακαλῇ. τοῦτό που σε ξένον, ὡς αὐτὸς ἔφης, ποιεῖ, καὶ τὸ σῶμα τοῦ χαιρεφῶντος οὐδὲν ἀστειότερον ἔχειν. οἶμαι δέ σε καὶ νύμφης ἐρωτικῆς περιέχεσθαι· καὶ πειρᾶσθαι μόλις ὁπόσα δύναται πόθος. ἀλλὰ γένοιτο ταῦθ' οὕτως ὅπως Ἀφροδίτῃ φίλον. Ἐῤῥώσῃ καὶ ἔῤῥωσο, καί σε θᾶττον προσείποιμι καὶ παίδων πατέρα.

Προαιρεσίῳ.

Τί δὲ οὐκ ἔμελλον ἐγὼ Προαιρέσιον τὸν καλὸν προσαγορεύειν; ἄνδρα ἐφιέντα τοῖς λόγοις, ὥσπερ οἱ ποταμοὶ τοῖς πεδίοις ἐφ' ἅπασι τὰ ῥεύματα; καὶ ζηλοῦντα τὸν Περικλέα κατὰ τοὺς λόγους, ἔξω τοῦ στρατηγεῖν καὶ συγκυκᾶν τὴν ἑλλάδα; θαυμάζειν δ' οὐ χρὴ, τὴν λακωνικὴν εἰ πρὸς σὲ βραχυλογίαν μιμησαίμην. ὑμῖν γὰρ πρέπει τοῖς σοφοῖς μακροὺς καὶ μεγάλους ποιεῖσθαι λόγους. ἡμῖν δ'

ἀρχῆς καὶ τὰ βραχέα πρὸς ὑμᾶς. ἴσθι δὴ τά μοι πολλὰ πανταχόθεν κύκλῳ πράγματα ἐπιῤῥεῖν. τὰς αἰτίας, εἰ μὲν ἱστορίαν γράφεις, ἀκριβέστατα ἀπαγγέλλω σοι, διὰ τὰς ἐπιστολὰς ἀποδείξεις ἐγγράφους. εἰ δ' ἔγνωκας ταῖς μελέταις καὶ τοῖς γυμνάσμασιν εἰς τέλος ἄχρι γήρως προσκαρτερεῖν, οὐδὲν ἴσως μου τὴν σιωπὴν μέμψῃ.

Λιβανίῳ.

Ἐπειδὴ τῆς ὑποθέσεως ἐπελάθου· τρίτη γοῦν ἐστὶ σήμερον, καὶ ὁ φιλόσοφος Πρίσκος αὐτὸς μὲν οὐκ ἧκε, γράμματα δ' ἀπέστειλεν ὡς ἔτι χρονίζων· ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν. ὄφλημα δέ ἐστιν, ὡς οἶσθα, σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον, ἐμοὶ δὲ ἥδιστον πάνυ κομίσασθαι. πέμπε δὴ τὸν λόγον, καὶ τὴν ἱερὰν συμβουλὴν, ἀλλὰ πρὸς Ἑρμοῦ καὶ μούσης, ταχέως. ἀλλὰ καὶ τούτων με τῶν τριῶν ἡμερῶν ἴσθι συντρίψας, εἴπερ ἀληθῆ φησιν ὁ Σικελιώτης ποιητὴς, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν. εἰ δὲ ταῦτά ἐστιν, ὥσπερ οὖν ἐστὶ, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας ὦ γενναῖε.

vos ſcribamus. Scito igitur res noſtras in magna varietate ac viciſſitudine verſari: cauſſas, ſi quidem hiſtoriam cogitas, accuratiſſimé tibi expono, cúm epiſtolas tanquam demonſtrationes ſcriptas ad te mitto. Sin autem te oratoriis ſtudiis & exercitationibus ad extremã uſque ſenectutem cõſumere ſtatuis, nihil fortaſſe meum ſilentium accuſabis.

LIBANIO.

Quandoquidem promiſſi tui oblitus es (tertius enim hic dies eſt, neque Priſcus philoſophus venit, ſed literas miſit tãquam adhuc moraturus) revoco tibi in memoriam debitum flagitando. Eſt autem, ut ſcis, ejuſmodi, ut & tibi facile ſit perſolvere, & mihi perjucundum accipere. Mitte itaque orationem illam ſimul cum nobili cõſultatione, ſed per Mercurium & Muſas, mitte celeriter. Sed & me ſcito tribus his diebus valde abs te conſumptũ eſſe, ſi quidẽ veré ait poëta Siculus, uno die amantes conſeneſcere. Quod ſi ita eſt, ut certé eſt, ſenectutẽ jam nobis, vir egregie,

Petit quadã ſcripta Libanii.

Theocrit. Idyl. 12.

triplicaſti. Hæc ad te dictavi occupatus. Scribere enim ipſe non poteram, quód manum lingua tardiorẽ habebã. Quin & lingua ipſa tardior jam eſt, quód eam jamdiu nõ exercuerim. Vale frater ſuaviſſime & chariſsime.

ARISTOMENI philoſopho.

Hortatur Ariſtomenem philoſophum, ut ad ſe veniat.

An veró expectandum eſt, dum vocêre? an priorem officio atque amicitia certare, prorſus jam extinctum eſt? Vide ne iniquã legem in amicitiã inducamus, ſi ab amicis eadẽ expectare conveniat, quæ vulgó á quibuſlibet familiaribus expectantur. Quæret aliquis, quẽadmodum amici ſimus, cúm ne de facie quidem inter nos noverimus. At ego viciſsim quæro, quí fit ut eos qui mille annos imó etiam bis millenos antea fuerunt, diligamus? Nempe quia boni viri erant. Et nos ſané tales eſſe volumus: Ac tametſi quod ad me attinet, multũ ab eo abſumus, ut tales ſimus, voluntate certé proximé accedimus. Verúm quid pluribus

θῆναί γε. ταῦτα μεταξὺ τοῦ πράττειν ὑπηγόρευσά σοι. γράφειν γὰρ οὐχ οἷός τε ἤμην, ἀργοτέραν ἔχων τῆς γλώττης τὴν χεῖρα. καί μοι καὶ τὴν γλῶτταν εἶναι συμβέβηκεν ὑπὸ τῆς ἀνασκησίας ἀργοτέραν καὶ ἀδιάρθρωτον. ἔρρωσό μοι ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

Ἀριστομένει φιλοσόφῳ.

Ἆρά γε χρὴ περιμένειν κλῆσιν; καὶ τὸ ἀεὶ περιμᾶν μηδαμοῦ; ἀλλ' ὅρα μὴ χαλεπὴν ταύτην εἰσαγάγωμεν τὴν νομοθεσίαν, εἰ ταῦτα χρὴ παρὰ τῶν φίλων περιμένειν, ὅσα καὶ παρὰ τῶν ἁπλῶν καὶ ὡς ἔτυχε γνωρίμων. ἀπορήσει τις ἐνταῦθα· πῶς δὲ οὐκ εἰδότες ἀλλήλους, ἐσμὲν φίλοι; πῶς δὲ τοῖς πρὸ χιλίων ἐτῶν γεγονόσι, καὶ ναὶ μὰ Δία δισχιλίων; ὅτι σπουδαῖοι πάντες ἦσαν, καὶ τὸν τρόπον καλοί τε κἀγαθοί. ἐπιθυμοῦμεν δὲ καὶ ἡμεῖς εἶναι τοιοῦτοι. εἰ καὶ τοῦ εἶναι, τό γε εἰς ἐμέ, πάμπληθες ἀπολειπόμεθα. πλὴν ἀλλ' ἥ γε ἐπιθυμία τάχα πως ἡμᾶς εἰς τὴν αὐτὴν ἐκείνοις μερίδα. καὶ τί τοιαῦτα ἐγὼ ληρῶ μακρότερον;

εἴτε γὰρ ἄκλητον ἰέναι χρὴ, ἥξεις δήπουθεν· εἴτε καὶ κλῆσιν περιμένεις, ἰδού σοι καὶ παράκλησις ἥκει παρ' ἡμῶν. ἔντυχε οὖν ἡμῖν περὶ τὰ τοιαῦτα πρὸς Διὸς ξενίου. δεῖξον ἡμῖν ἄνδρα ἐν καππαδοκίαις καθαρῶς ἕλληνα. τέως γὰρ τοὺς μὲν οὐ βουλομένους, ὀλίγους δέ τινας ἐθέλοντας μὲν, οὐκ εἰδότας δὲ, θύειν ὁρῶ.

Ἰουλ. Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ.

Τὰ πεμφθέντα παρά σου βιβλία πάντα ὑπεδεξάμην, καὶ τὰς ἐπιστολὰς ἄσμενος διὰ τοῦ βελτίστου Μυγδονίου. καὶ μόγις ἄγων σχολὴν· ὡς ἴσασιν οἱ θεοὶ οὐ κακιζομένην λόγῳ· ταῦθ' ἀντέγραψα πρός σε. σὺ δὲ εὖ πράττοις, καὶ γράφοις ἀεὶ τοιαῦτα.

Ἐκδικίῳ ἐπάρχῳ Αἰγυπτίων.

Εἰ καὶ τῶν ἄλλων ἕνεκα μὴ γράφεις ἡμῖν, ἀλλ' ὑπέρ γε τοῦ τοῖς θεοῖς ἐχθροῦ ἐχρῆν σε γράφειν Ἀθανασίου· καὶ ταῦτα πρὸ πλείονος ἤδη χρόνου τὰ καλῶς ἡμῖν ἐγνωσμένα πεπυσμένον. ὄμνυμι δὲ τὸν μέγαν Σάραπιν, ὡς εἰ μὴ πρὸ τῶν δεκεβρίων καλανδῶν ὁ θεοῖς

ἐχθρὸς

bus tempus conſumo? ſi invocatum venire oportet, venies: ſin vocē expectas, habes adhortationem meam. Quocirca per Jovem hoſpitalem te oro, ut ad nos quamprimum venias, hominemque inter Cappadocas veré Græcum oſtēdas. Nam adhuc quidem invitos nonnullos, volentes paucos, ſed inſcientes ſacrificare video.

JULIANUS THEODORÆ plurimum obſervandæ.

Libros omnes, quos ad me miſiſti, cū epiſtolis perlibenter accepi, á Mygdonio viro optimo mihi redditos. Et cúm otii vix quicquam haberem (dii enim ſciūt nihil me verbis minuere) hæc ad te reſcripſi. Tu veró da operā ut valeas, & ſemper ad nos tales literas mittas.

ECDICIO PRÆFECTO Ægyptiorum.

Etſi nihil de cæteris ſcribis, attamē de illo deorū hoſte Athanaſio ſcribere certé debuiſti, præſertim cúm præclara noſtra decreta multó anté audiviſſes. Teſtor magnū Sarapin, niſi ante Calendas

Hac epiſtola exiliū Athanaſio decernitur.

das

das Decẽbres inimicus deorũ Athanaſius ex ea urbe, vel potius ex univerſa Ægypto diſceſſerit, centum auri pondo cohortem, quæ tibi paret, multatum iri. Scis autem quám ſim lentus ad cõdemnandum, & quantó lentior, poſtquam cõdemnavi, ad ignoſcendum. Per mihi moleſtum eſt, ejus opera deos omnes contemni. Equidem ex tuis factis nullum libẽtius videro, imó audiero, quám Athanaſium illum ſceleſtum ex omnibus Ægypti locis pulſum eſſe: qui auſus eſt in meo regno fœminas Græcorum illuſtres ad baptiſmum impellere.

ARTABIO.

Epiſtola hæc videtur ad tẽpus illud pertinere, cũ Julianus eccleſiarum opes ethnicis juſsit attribui.

Ego per deos, neq; interfici Galilæos, neque cædi præter jus & æquũ, neque moleſtiæ quicquam perpeti volo: ſed tamen iis pios & ſanctos viros præferendos eſſe vel maximé cenſeo. Etenim Galilæorum amẽtia propemodum omnia afflixit ac perdidit, cúm deorum benevolentia omnes ſalvi ſimus. Quare tum deos colere, tum pios & viros & populos honorare debemus.

GEOR-

ἐχθρὸς Ἀθανάσιος ἐξέλθοι ἐκείνης, μᾶλλον δὲ πάσης τῆς Αἰγύπτου, τῇ ὑπακουούσῃ τάξει προστιμήσαιμι χρυσοῦ λίτρας ἑκατόν. οἶσθα δὲ πῶς εἰμὶ βραδὺς μὲν εἰς τὸ καταγνῶναι, πολλῷ δὲ ἔτι βραδύτερος εἰς τὸ ἅπαξ καταγνοὺς ἀνεῖναι. καὶ τῇ αὐτοῦ χειρὶ πάνυ με λυπεῖ τὸ καταφρονεῖσθαι τοὺς θεοὺς πάντας. οὐδὲν οὕτως ἴδοιμι, μᾶλλον δὲ ἀκούσαιμι μηδενὸς παρὰ σοῦ πραχθέντος, ὡς Ἀθανάσιον ἐξεληλαμένον τῶν τῆς Αἰγύπτου τόπων, τὸν μιαρὸν, ὃς ἐτόλμησεν Ἑλληνίδας ἐπ' ἐμοῦ γυναῖκας τῶν ἐπισήμων, βαπτίσαι διώκεσθαι.

Ἀρταβίῳ.

Ἐγὼ νὴ τοὺς θεοὺς, οὔτε κτείνεσθαι τοὺς Γαλιλαίους, οὔτε τύπτεσθαι παρὰ τὸ δίκαιον, οὔτε ἄλλοτι πάσχειν κακὸν βούλομαι· προτιμᾶσθαι μέντοι τοὺς θεοσεβεῖς καὶ πάνυ φημὶ δεῖν. διὰ γὰρ τὴν Γαλιλαίων μωρίαν, ὀλίγου δεῖν, ἅπαντα ἀνετράπη, διὰ δὲ τὴν τῶν θεῶν εὐμένειαν σωζόμεθα πάντες. ὅθεν χρὴ τιμᾶν τοὺς θεοὺς, καὶ τοὺς θεοσεβεῖς ἄνδρας τε καὶ πόλεις.

Γεωρ-

Γεωργίῳ.

Ἦλθες Τηλέμαχε, φησὶ τὸ ἔπος· ἐγὼ δέ σε καὶ εἶδον ἤδη τοῖς γράμμασι, καὶ τῆς ἱερᾶς σου ψυχῆς τὴν εἰκόνα, καθάπερ ὀλίγῃ σφραγῖδι μεγάλου χαρακτῆρος τύπον ἀνεμαξάμην. ἔστι γὰρ ἐν ὀλίγῳ πολλὰ δείξασθαι. ἐπεὶ καὶ Φειδίας ὁ σοφὸς οὐκ ἐκ τῆς Ὀλυμπίασι μόνον ἢ Ἀθήνησιν εἰκόνος ἐγνωρίζετο, ἀλλ᾽ ἤδη καὶ μικρῷ γλύμματι μεγάλης τέχνης ἔργον ἐγκλεῖσαι· οἷον δὴ τὸν τέττιγά φασιν αὐτὸν, καὶ τὴν μέλιτταν, εἰ δὲ βούλῃ καὶ τὴν μυῖαν, εἶτ᾽, ὧν ἕκαστον εἰ καὶ τῇ φύσει κεχάλκωται, τῇ τέχνῃ ἐνεμψύχωται. ἀλλ᾽ ἐν ἐκείνοις μὲν ἴσως αὐτοῖς καὶ ἡ σμικρότης τῶν ζώων, εἰς τὴν κατὰ λόγον τέχνην τὸ εἰκὸς ἐχαρίζετο. σὺ δ᾽ ἀλλὰ τὸν ἐφ᾽ ἵππου θηρῶντα Ἀλέξανδρον, εἰ δοκεῖ, σκόπει, οὗ τὸ μέτρον ἐστὶ πᾶν, ὄνυχος δακτύλου χειρὸς οὐ μεῖζον. οὕτω δὲ ἐφ᾽ ἑκάστου τὸ θαῦμα τῆς τέχνης δέχεται, ὥστε ὁ μὲν Ἀλέξανδρος τὸ θεῖον βάλλει, καὶ τὸν θεατὴν φοβεῖ, δι᾽ ὅλου δυσωπῶν τοῦ σχήματος. ὁ δὲ ἵππος ἐν ἄκρᾳ τῶν ποδῶν τῇ βάσει τὴν στάσιν

φέ-

GEORGIO.

In verſu illo ſcis eſſe, Veniſti mi Telemache. At ego te & vidi jam in literis, & tuæ divinæ mentis imaginem, quaſi magni cujuſdam ſigni effigiem parvo ſigillo expreſſi. Licet enim multa in re parva oſtendere. Sapiens ille Phidias nõ ex ea ſolúm imagine, quæ in Olympiis eſt aut Athenis notus erat, verumetiam quód in exigua ſculptura magnæ artis opus incluſerat. Talem ajunt ejus cicadam & apem fuiſſe, ac ſi vis, muſcam: quorum unumquodque licet natura æreum finxit, ars tamen vita atque anima ornavit. Verúm in iis parvitas fortaſſe animantium artis induſtriæ ſpeciem veritatis contulit: at tu, ſi placet, Alexãdrum ex equo venantem intuere, cujus magnitudo digiti in manu unguem non ſuperat, & tamen adeó mirabili eſt artificio expreſſus, ut Alexander quidem & beluam feriat, & ſpectatori terrorem vultu incutiat: equus veró in extrema pedum baſi conſiſtere recu-

Laudatur eloquẽtia Georgii ex collatione pariũ: Exigua opera ſæpé magnos artifices indicarunt: literæ item Georgii eloquẽtem ipſum eſſe arguunt.

De Phidia Plin. cap. 8. lib. 34.

recuſans, dum motionis ſenſum tanquã ſurripit, arte tamen moveatur. Hoc ipſum tu vir egregie, pauló anté apud nos feciſti. Nam ut in Mercurii facundi ſtadiis toties jam victor & coronatus, mirabilem in paucis his ſcriptis virtutem tuam demonſtras: vereque Homericũ Vlyſſem imitaris, qui tantum dicendo Phæacas perterruit ac cõturbavit. Quãobrem ſi noſtra amicitia tibi uſui eſſe poſſit, præſto ea tibi erit cúm voles. Omnino amicitiam quoque infimorum utilem eſſe docet mus, qui leoni mercedis loco ſalutem attulit.

ECDICIO PRÆFECTO Ægypti.

Georgii Epiſcopi Alexãdrini libros poſcit hac epiſtola.

Quidam equis, alii avibus, nonnulli feris delectãtur: ego veró inde uſque á pueritia librorum cupiditate arſi. Quare abſurdum eſt, has opes iis relinquere, quorum avaritia nequit auro extingui, præſertim cúm facilé videar eas illis poſſe detrahere. Quocirca hoc mihi ſingulare beneficium dabis, ut Georgii ſcripta omnia reperienda cures. Multa erãt apud illum de Philoſophia,

φθέγγων, ἐν τῇ τῆς ἐνεργείας κλοπῇ, τῇ τέχνῃ κινεῖται. ὃ δὴ καὶ αὐτὸς ἡμῖν, ὦ γύναι, ἐποίεις. ὥσπερ γὰρ ἐν ἑρμοῦ λογίου σταδίοις διόλου πολλάκις τοῦ δρόμου στεφανωθεὶς ἤδη, δι' ὧν ἐν ὀλίγοις γραφεῖς, τῆς ἀρετῆς τὸ ἄκρον ἐμφαίνεις καὶ τοῦ ὄντι τὸν Οδυσσέα τὸν Ομήρου ζηλοῖς, ὅστις καὶ μόνον εἰπὼν ἤρκει τοὺς φαίηκας ἐκπλῆξαι. εἰ δή τι καὶ παρ' ἡμῶν τοῦ κατά σε φιλικοῦ δέῃ, φθόνος οὐδείς. πάντως που καὶ παρὰ τῶν ἠττόνων εἶναί τι χρηστὸν, ὁ μῦς τὸν λέοντα τῷ μισθῷ σώσας, ἀρκούντως δείκνυσι.

Εκδικίῳ ὑπάρχῳ Αἰγύπτου.

Αλλοι μὲν ἵππων, ἄλλοι δὲ ὀρνέων, ἄλλοι θηρίων ἐρῶσιν. ἐμοὶ δὲ βιβλίων κτήσεως ἐκ παιδαρίου δεινὸς ἐντέτηκε πόθος. ἄτοπον οἶμαι, εἰ ταῦτα περιίδοιμι σφετεριζομένους ἀνθρώποις, οἷς οὐκ ἀρκεῖ τὸ χρυσίον ἀναπλῆσαι τὸν πολὺν ἔρωτα τοῦ πλούτου· πρὸς δ' καὶ ταῦτα ὁ ὑφαιρεῖσθαι ῥαδίως διανοούμενος. ταύτην οὖν μοι ἰδιωτικὴν δὸς χάριν, ὅπως ἂν εὑρεθείη πάντα τὰ Γεωργίου βιβλία. πολλὰ μὲν γὰρ ἦν φιλόσοφα παρ' αὐτῷ, πολλὰ·

πολλὰ δὲ ῥητορικὰ, πολλὰ δὲ ἦν καὶ τῆς τῶν Γαλιλαίων διδασκαλίας, ἃ βουλοίμην μὲν ἠφανίσθαι πάντη. τῷ δὲ μὴ σὺν τούτοις ἀφαιρεθῆναι τὰ χρησιμώτερα, ζητείσθω κἀκεῖνα μετ᾽ ἀκριβείας ἅπαντα. ἡγεμὼν δὲ τῆς ζητήσεως ἔστω σοι ταύτης ὁ νοτάριος Γεωργίου. ὃς μετὰ πίστεως ἀνιχνεύσας αὐτὰ, γέρας ἴστω τευξόμενος ἐλευθερίας· εἰ δ᾽ ἄλλως γένοιτο κακοῦργος περὶ τὸ πρᾶγμα, βασάνων εἰς πεῖραν ἥξων. μετέδωκε γάρ μοι περὶ τὴν Καππαδοκίαν ὄντι πρὸς μεταγραφὴν, τινὰ, καὶ ταῦτα ἔλαβε πάλιν.

Αὐτοκράτωρ Καῖσαρ Ἰουλιανὸς, μέγιστος, σέβαστος, Ἀλεξανδρέων τῷ δήμῳ.

Εἰ μὴ τὸν Ἀλέξανδρον τὸν οἰκιστὴν ὑμῶν, καὶ πρό γε τούτου τὸν θεὸν μέγαν τὸν ἁγιώτατον Σάραπιν αἰδεῖσθε, τοῦ κοινοῦ γοῦν ὑμᾶς καὶ ἀνθρωπίνου καὶ πρέποντος πῶς οὐκ εἰσῆλθε λόγος οὐδείς; προσθήσω δὲ ὅτι καὶ ἡμῶν, οὓς οἱ θεοὶ πάντες, ἐν πρώτοις δὲ ὁ μέγας Σάραπις, ἄρχειν ἐδικαίωσαν τῆς οἰκουμένης,

multa de Rhetorica, multa de Galilæorum doctrina: quæ velim penitus extincta eſſe, ſed ne cum his illa quoque pereant, omnia diligenter exquiri volo. Dux autem tibi eſto ad inquirendum librarius ipſius Georgii, qui ſi fideliter in eam curam incubuerit, præmium ſibi libertatem eſſe ſciat: Sin autem malitioſé & aſtuté rem geſſerit, quæſtionem de ſe habitum iri. Mihi enim cúm in Cappadocia eſſem, quædam deſcribenda dedit, quæ ad eum poſteá remiſi.

IMPERATOR CÆSAR JULIANUS, Maximus, Auguſtus, populo Alexandrino.

Si nihil vos Alexander cõditor, ac potius Deus ille magnus ſanctiſſimus Sarapis commovet, attamen patriæ, humanitatis, officii ratio nónne debuit ac potuit commovere? addo etiam noſtri: quos cúm dii omnes, tum veró imprimis magnus Sarapis, totius orbis impe-

Caſtigat Alexãdrinos ob facinus in Georgii epiſcopi cæde commiſſum. Hiſtoria refertur á Marcellino lib.22. epiſtola veró citatur á Socra. cap.2. lib.3.

 rio

rio præfecerunt: quorum intererat de injuria vobis facta cognoſcere. Verúm iracundia vos fortaſſe decepit, & furor qui atrociſſima quæque ſolet committere, ubi mentem domicilio ſuo exturbavit: deinde repentino impetu incitatus nefariam illam legum violationẽ induxit. Neque veriti eſtis, cúm plebs eſſetis, eadem committere, quæ in illis meritó reprehendebatis. Etenim per Sarapin, dicite mihi, quæ tandem Georgii crimina vos in illum incitarunt? Reſpondebitis, arbitror, quoniam in vos Conſtantium accenderit: exercitum in nobilem iſtam urbem adduxerit: tum rex ſanctiſſimum in Ægypto Dei templum cœperit, ſtatuas & donaria & ornâtum omnem diripuerit: cúmque vos meritó iraſceremini, & Deo vel Dei potius opibus ſuccurreretis, ille ſumma iniquitate, ſcelere, impietateque úſus armatos immiſerit, magis fortaſſe Georgium quám Conſtantium veritus, ſi

ſeip-

μένης, οἷς πρέπον ἦν τὴν ὑπὲρ τῶν ἠδικηκότων ὑμᾶς φυλάξαι διάγνωσιν. ἀλλ᾽ ὀργὴ τυχὸν ἴσως ὑμᾶς ἐξηπάτησε καὶ θυμὸς, ὅσπερ οὖν εἴωθε τὰ δεινὰ πράττειν, τὰς φρένας μετοικίσας· εἶτα τῆς ὁρμῆς ἀναστείλας, τὸ παραχρῆμα βεβουλευμένης κακῶς ὕστερον ἐπήγαγε τὴν παρανομίαν. οὐδὲ ᾐσχύνθητε δῆμος ὄντες τολμῆσαι ταῦτα, ἐφ᾽ οἷς ἐκείνοις ἐμισήσατε δικαίως. εἴπατε γάρ μοι πρὸς τοῦ Σαράπιδος, ὑπὲρ ποίων ἀδικημάτων ἐχαλεπήνατε Γεωργίῳ; τὸν μακαριώτατον Κωνστάντιον ἐρεῖτε δήπουθεν, ὅτι καθ᾽ ὑμῶν παρώξυνεν, εἶτα εἰσήγαγεν εἰς τὴν ἱερὰν πόλιν στρατόπεδον, καὶ κατέλαβεν ὁ βασιλεὺς τῆς Αἰγύπτου τὸ ἁγιώτατον τοῦ θεοῦ τέμενος, ἀποσύλας ἐκεῖθεν εἰκόνας καὶ ἀναθήματα καὶ τὸν ἐν τοῖς ἱεροῖς κόσμον. ὑμῶν δὲ ἀγανακτούντων εἰκότως, καὶ πειρωμένων ἀμύνειν τῷ θεῷ, μᾶλλον δὲ τοῖς τοῦ θεοῦ κτήμασιν· ὁ δὲ ἐτόλμησεν ὑμῖν ἐπιπέμψαι τοὺς ὁπλίτας, ἀδίκως καὶ παρανόμως, καὶ ἀσεβῶς, ἴσως Γεώργιον μᾶλλον, ἢ τὸν Κωνστάντιον δεδοικὼς, ἑαυ-

τὸν παρεφύλαττεν εἰ μετριώτερον ὑμῖν καὶ
πολιτικώτερον, ἀλλὰ μὴ τυραννικώτερον
πόρρωθεν προσεφέρετο. τούτων οὖν ἕνεκεν ὀρ-
γιζόμενοι τοῖς θεοῖς ἐχθρῷ Γεωργίῳ, τὴν ἱερὰν
αὖθις ἐμιάνατε πόλιν, ἐξὸν ὑποβάλλειν αὐ-
τὸν ταῖς τῶν δικαστῶν ψήφοις· οὕτω γὰρ ἐγίνε-
το ἂν οὐ φόνος, οὐδὲ παρανομία τὸ πρᾶγμα.
δίκη δὲ ἐμμελὴς, ὑμᾶς μὲν ἀθώους πάντη
φυλάττουσα, τιμωρουμένη μὲν τὸν ἀνίατα
δυσσεβήσαντα. σωφρονίζουσα δὲ τοὺς ἄλλους
πάντας, ὅσοι τῶν θεῶν ὀλιγωροῦσι, καὶ προ-
σέτι τὰς τοιαύτας πόλεις καὶ τοὺς ἀνθοῦντας δή-
μους ἐν οὐδενὶ τίθενται, τῆς ἑαυτῶν δὲ ποιοῦν-
ται πάρεργον δυναστείας τὴν κατ' ἐκείνων ὠ-
μότητα. παραβάλλετε τοίνυν ταύτην μου τὴν
ἐπιστολὴν, ἣν μικρῷ πρῴην ἐπέστειλα, καὶ
τὸ διάφορον κατανοήσατε, πόσους μὲν ὑμῶν
ἐπαίνους ἔγραφον τότε· νυνὶ δὲ, μὰ τοὺς θεοὺς,
ὀφείλων ὑμᾶς ἐπαινεῖν, οὐ δύναμαι διὰ τὴν
παρανομίαν. τολμᾷ δῆμος, ὥσπερ οἱ κύνες,
ἄνθρωπον σπαράττειν. εἶτα οὐκ αἰσχύνεται, καὶ
φυλάττει καθαρὰς τὰς χεῖρας ὡς προσά-

ſeipſum erga vos modeſté ac civiliter gereret, neque tyrãnidem abſens exerceret. His itaque cauſſis irati deorum inimico Georgio iterum ſacram urbem ſcelere polluiſtis, cúm liceret eum ſententiis judicum permittere: Sic enim non cædes, non ſcelus ullum fuiſſet, jus & æquitas adhibita eſſet, quæ & vos penitus conſervaret, & impietatis auctorem puniret, & cæteros comprimeret, qui deos contemnunt, qui urbes iſtas & florentes populos pro nihilo ducunt, qui crudelitatem erga illos exiſtimant potentiæ ſuæ additamentum. Conferte itaque meam illam epiſtolam, quam ad vos pauló anté miſi, cum hac ipſa, & quantum interſit, conſiderate, quantiſque laudibus vos illic affecerim: quas cúm hoc tempore vobis tribuere deberem, propter ſcelus veſtrum mediusfidius non poſſum. Auſus eſt populus, ut canes, hominem diſcerpere, neque pudore afficitur: neque manus puras ac ſanguine vacuas ſervat, ad deo offeren-

 dum.

dum. At enim dignus erat Georgius, qui talia pateretur. Imó longé fortaſſe graviora, inquam, & acerbiora. At veſtro nomine. Fateor, ſed á vobis non concedo. Sunt enim leges, quas obſervare omnes & colere debebatis: ac ſi privatim á nonnullis violarentur, publicé quidem certé rem bene adminiſtrari, legibus obtemperari, inſtituta majorum ſancta & ſacra haberi conveniębat. Præclaré eſt vobiſcum actum, viri Alexandrini, quód me regnante talia commiſiſtis, qui partim verecundia in Deum, partim avi mei, & avunculi mihi cognominis, qui tum ipſi Ægypto, tum veſtræ civitati præfuit, recordatione, fraternam erga vos charitatem conſervo. Certé in bono & ſevero imperio, cujus auctoritas non contemnatur, facinus inſolens populi ferri non ſolet, ſed tanquam gravis morbus aſperiore medicina ſanatur. At ego propter eas cauſſas, quas modó commemo-

γὰν πρὸς τοὺς θεούς, αἵματος καθαρεύσας. ἀλλὰ Γεώργιος ἄξιος ἦν τοῦ τοιαῦτα παθεῖν. καὶ τούτων ἴσως ἐγὼ φαίην ἂν χείρονα καὶ πικρότερα. καὶ δι' ὑμᾶς ἐρεῖτε. σύμφημι καὶ αὐτός. παρ' ὑμῶν δὲ εἰ λέγοιτο, τοῦτο οὐκ ἔτι συγχωρῶ. νόμοι γὰρ ὑμῖν εἰσίν, οὓς χρὴ τιμᾶσθαι μάλιστα μὲν ὑπὸ πάντων ἰδίᾳ καὶ στέργεσθαι· πλὴν ἐπεὶ συμβαίνει τὴν καθ' ἕκαστον τινὰς παρανομεῖν, ἀλλὰ τὰ κοινὰ γοῦν εὐνομεῖσθαι χρή, καὶ πειθαρχεῖν τοῖς νόμοις ὑμᾶς, καὶ μὴ παραβαίνειν ὅσαπερ ἐξ ἀρχῆς ἐνομίσθη καλῶς. εὐτύχημα γέγονεν ὑμῖν, ἄνδρες Ἀλεξανδρεῖς, ἐπ' ἐμοῦ πλημμελῆσαι τοιοῦτό τι ὑμᾶς, ὃς αἰδοῖ τῇ πρὸς τὸν θεὸν, καὶ διὰ τὸν πάππον τὸν ἐμὸν, καὶ τὸν θεῖον ὁμώνυμον, ὃς ἦρξεν αὐτῆς τε Αἰγύπτου, καὶ τῆς ὑμετέρας πόλεως, ἀδελφικὴν εὔνοιαν ὑμῖν ἀποσώζω. ὁ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον, καὶ ὁ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς, οὔποτε ἂν δήμου ἴδοιεν τόλμημα, μὴ οὐ καθάπερ νόσημα χαλεπὸν πικροτέρῳ διακαθᾶραι φαρμάκῳ. προσφέρω δ' ἐγὼ ὑμῖν, δι' ἅσπερ ἔναγ-

χρῆς ἐφίω αἰτίας, ὃ προσηνέςατον παραίνεσιν καὶ λόγους ὑφ' ὧν εὖ οἶδα ὅτι πείσεσθε μᾶλλον, εἴπερ ἐςὲ, καθάπερ ἀκούω, τό, τε ἀρχαῖον ἕλλενες, καὶ ταννῦ ἐπεὶ τ εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γνήσιος ἐν τῇ διανοίᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ὁ χαρακτήρ. προσεθήτω δὲ τοῖς ἐμοῖς πολίταις Ἀλεξανδρεῦσιν.

Ἰουλιανὸς Βυζαντίοις.

Τοὺς βουλευτὰς πάντας ὑμῖν ἀποδεδώκαμεν, καὶ τοὺς πατρογενεῖς, εἴ τε τῇ Γαλιλαίων ἑαυτοὺς ἔδοσαν θρησκείᾳ, εἴ τε ὅπως ἄλλως πραγματεύσαιντο, διαδράναι δὲ βουλευτήριον, ἔξω τῶν ἐν τῇ μητροπόλει λελειτουργηκότων.

Βασιλείῳ.

Η μὲν παροιμία φησὶν, Οὐ πόλεμον ἀγγέλλεις. ἐγὼ δε προσθείην ἐκ τ κωμῳδίας, ὦ χρυσὸν ἀγγείλας ἐπῶν· ἴθι οὖν, ἔργοις αὐτὸ δεῖξον, καὶ σπεῦδε παρ' ἡμᾶς· ἀφίξῃ γὰρ φίλος παρὰ φίλον. ἡ δὲ περὶ τὰ πράγματα κοινὴ καὶ συνεχὴς ἀσχολία δοκεῖ μὲν εἶναί

πως

memoravi, remedium lenius adhibeo, orationem nimirum atque admonitionem: quibus (ut ſpero) eó libentius parebitis, quód & antiqua origine Græci eſtis, & nunc illuſtres ac præclaras nobilitatis illius notas animo vitaque retinetis: addo etiam, quia mei Alexandrini cives eſtis.

Patrocoli qui ſint, incertum eſt: niſi forte imperator de curialibus loqui videtur, iiſque qui curiis addicti ſunt, de quibus mentio eſt in Codice Theodoſii & Juſtiniani: ut dicantur πατρόκολλοι quaſi paterna ſtirpe curiæ agglutinati: ſic nĕpe vulgi lingua πρωτόκολλον dicitur, etiam Gallica.

JUL. BYZANTIIS.

Senatores omnes vobis reddidimus, & Patrocolos, ſive in Galilæorum religionem ſe dederint, ſive aliud quidvis geſſerint, ut Curiam effugiant, extra eos qui in urbe primaria publico muneri præfuerunt.

BASILIO.

Hortatur Baſiliũ ut in aulam veniat.

Non bellum denuncias, ait vetus verbum: at ego addam etiam illud comœdiæ veteris, O nuncium aureorum verborum! Age igitur, iſtud reipſa oſtende, & ad nos quamprimúm advola: certé amicus ad amicum venies. Aſſidua cura Reipub. moleſta eſt iis, qui negli-

negligentiús in ea verſantur: at qui diligentia & induſtria utuntur, æqui ſunt, mea quidem ſententia, & prudẽtes, omninoque ad omnia idonei. Quare ipſe mihi oportunitatem hanc comparavi, ut ſine ulla Reip. negligentia, nonnihil quoque ſpatii ad relaxationem animi ſumam. Etenim adhuc ita vivimus, ut aulicæ ſimulationis nihil feré retineamus (quam quidem tu fortaſſe adhuc expertus fuiſti, qua qui laudant, majore odio proſequũtur, quám inimiciſſimos) ſed honeſta moderataq; libertate, cúm opus eſt, nos mutuó accuſamus & reprehendimus, neque tamen propterea minus inter nos amamus, quám qui maximé amici ſunt. Ex eo accidit (quod ſine invidia dicere liceat) ut dum relaxamur, ſeria agamus, & dum hæc agimus, minimé cruciemur, & ſecuré dormiamus: quoniã cúm vigilarem, nõ tam pro meipſo quám pro cæteris omnibus, ut par erat vigilavi. Hæc forſitan apud te nugatus ſum, levitate quadã animi & inſolẽtia: Meipſum nanque, ſicut Aſtydamas, collaudavi: veruntamen ut intelligeres multó magis tuum conſpectũ, ſapientis

Vide Athen. lib. 1. & proverb. Teipſum laudas.

πως τοῖς πάρεργον αὐτὸ ποιοῦσιν ἐπαχθής· οἱ δὲ τῆς ἐπιμελείας κοινωνοῦντες, εἰσὶν ἐπιεικεῖς· ὡς ἐμαυτὸν πείθω· καὶ συνετοὶ, καὶ πάντως ἱκανοὶ πρὸς πάντα. δίδωμι οὖν μοι ῥᾳστώνην, ὥστε ἐξεῖναι μηδὲν ὀλιγωροῦντι καὶ ἀναπαύεσθαι. σύνεσμεν γὰρ ἀλλήλοις οὐ μετὰ τῆς αὐλικῆς ὑποκρίσεως μόνης· ἧς, οἶμαι, σε μέλει τῆς δεῦρο πεπεῖσθαι, καθ' ἣν ἐπαινοῦντες, μισοῦσι τηλικοῦτον μῖσος, ἡλίκον οὐδὲ τοὺς πολεμιωτάτους· ἀλλὰ μετὰ τῆς προσηκούσης ἀλλήλοις ἀληθείας ἐξελέγχοντές τε ὅταν δέῃ καὶ ἐπιτιμῶντες, οὐκ ἔλαττον φιλοῦμεν ἀλλήλους τῶν σφόδρα ἑταίρων. ἔνθεν ἔξεστιν ἡμῖν· ἀπείη δὲ φθόνος· ἀνειμένοις τε σπουδάζειν, καὶ σπουδάζουσι μὴ ταλαιπωρεῖσθαι, καθεύδειν δὲ ἀδεῶς. ἐπεὶ καὶ ἐγρηγορὼς, οὐχ ὑπὲρ ἑαυτοῦ μᾶλλον ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων, ὡς εἰκὸς, ἐγρήγορα. ταῦτα ἴσως κατηδολέσχησά σου καὶ κατελήρησα, παθών τι βλακῶδες. ἐπήνεσα γὰρ ἐμαυτὸν ὥσπερ Αστυδάμας. ἀλλ' ἵνα σε πείσω πάρεργόν τι μᾶλλον ἡμῖν τὴν σὴν παρουσίαν, ἅτε ἀνδρὸς

ἐμφρο-

ἔμφρονος, ποιήσειν, ἢ παραιρήσεσθαί τι τοῦ καιροῦ, ταῦτα ἐπέστειλα. σπεῦδε οὖν, ὅπερ ἔφην, δημοσίῳ χρησάμενος δρόμῳ· συνδιατρίψας δὲ ἡμῖν ἐφ' ὅσον σοι φίλον, οἶπερ ἂν θέλῃς ὑφ' ὑμῶν πεμπόμενος, ὡς προσῆκόν ἐστι, βαδιῇ.

Ἰουλιανὸς Ἰουλιανῷ θείῳ.

Τρίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων οὐδὲ τὸν ὑπογράφοντα, διὰ τὸ πάντας ἀσχόλους εἶναι, μόλις ἴσχυσα πρὸς σὲ ταῦτα γράψαι. ζῶμεν διὰ τοὺς θεοὺς ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δρᾶσαι τὰ ἀνήκεστα. μάρτυς δὲ ὁ ἥλιος, ὃν μάλιστα πάντων ἱκέτευσα συναίρεσθαί μοι. καὶ ὁ βασιλεὺς Ζεύς, ὡς οὐ πώποτε ηὐξάμην ἀποκτεῖναι Κωνστάντιον, μᾶλλον δὲ ἀπηυξάμην. τί οὖν ἦλθον; ἐπειδή μοι οἱ θεοὶ διαρρήδην ἐκέλευον, σωτηρίαν μὲν ἐπαγγελλόμενοι πειθομένῳ. μένοντι δὲ, ὃ μηδεὶς θεῶν ποιήσειεν. ἄλλως τε ὅτι καὶ πολέμιος ἀποδειχθεὶς, ᾤμην φοβῆσαι μόνον, καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα· εἰ δὲ μάχῃ κριθείη, τῇ τύχῃ ἅπαντα καὶ

τοῖς

pientis videlicet hominis, nobis profuturum, quám impedimenti allaturum, hæc ſcripſi. Propera igitur, ut dixi, & publicis equis uteris: cúmque apud nos, quãtum tibi videbitur, fueris, tum á nobis honeſté & ut decet, dimiſſus, quó voles, proficiſceris.

JUL. JULIANO avunculo.

Ad tertiam horam noctis ineũtis, cúm neminem, qui ſcriberet, haberem, quód omnes occupati eſſent, vix potui hæc ad te ſcribere. Vivimus Deorũ beneficio liberati ab extremis malis patiẽdis vel faciẽdis. Teſtis veró mihi eſt Sol, cujus auxilium opemque imprimis popoſci: teſtis Jupiter rex, quód Conſtantium occidere nũquam optaverim, imó magis ne id accideret, exoptaverim. Cur igitur veni? quia videlicet dii aperté hortabantur, ſalutem polliciti ſi parerem: ſin veró remanerem, id quod dii prohibeant. Accedit, quód cúm hoſtis jam appellatus eſſem, terrere eum duntaxat cogitabã, eoq; pacto res ad colloquiũ aliquod lenius & mitius devẽturas eſſe: aut ſi etiã bello decernendũ foret,

Epiſtola hæc eſt de obitu Conſtantii, de quo Marcell. 21.

fortunæ

fortunæ diiſque omnia permitterẽ, atque exitum qualem ipſorum clementia afferret, expectarem.

JULIANUS LIBANIO.

Legi heſterno die orationẽ tuam magna ex parte ante prandium: pranſus veró, ſine ulla intermiſſione reliquũ abſolvi. O te felicem, qui ita poſſis dicere, aut ſentire potius! ó orationem! ó mentem! ó prudẽtiam! ó partitionem! ó argumẽta! ó diſpoſitionem! ó aditus! ó verba! ó numerũ! ó compoſitionem!

JULIANUS MAXIMO philoſopho.

Maximus philoſophus hic Julianum depravavit.

Alexandrum Macedonem ajunt Homeri carminibus indormire ſolitũ, ut noctes dieſque in bellicis ejus libris verſaretur: at nos cum tuis epiſtolis tanquam Pæoniis medicamentis dormimus, eaſque aſſidué tanquam recentes ac novas iteramus. Quare ſi tuarum literarum colloquium, id eſt tuam imaginem nobis repræſentare vis, ſcribe,

&c

τοῖς θεοῖς ἐπιτρέψας, περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπείᾳ δόξῃ.

Ιουλιανὸς Λιβανίῳ.

Ανέγνων χθὲς τὸν λόγον περὶ ἀρίστου σχεδόν· ἀριστήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος, ὢ φρένες, ὢ σύνεσις, ὢ διαίρεσις, ὢ ἐπιχειρήματα, ὢ τάξις, ὢ ἀφορμαὶ, ὢ λέξις, ὢ ἁρμονία, ὢ συνθήκη.

Ιουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

Αλέξανδρον μὲν τὸν μακεδόνα τοῖς Ομήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτα καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν· ἡμεῖς δέ σου ταῖς ἐπιστολαῖς, ὥσπερ παιωνείοις τισὶ φαρμάκοις συγκαθεύδομεν. καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαραῖς ἔτι καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε, καὶ μὴ λῆγε

σύν-

συνεχῶς τοῦτο πράττων. μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐνθυμούμενος ὡς ἡμῖν γε ἕως ἂν ἀπῇς, οὐδ᾽ ὅτι ζῶμεν εἰπεῖν ἐστιν, ἢ ὅτε μόνον τοῖς παρά σου γραφομένοις ἐντυχεῖν ἔξεστιν.

Ἰουλιανὸς τῷ αὐτῷ.

Ὁ μὲν μῦθος φησὶ τὸν ἀετὸν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα, καὶ ταῖς ἡλίου προτάττειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ πατέρα τε ἀληθῶς νεοττοῦ γιγνόμενον, καὶ νόθου γονῆς ἀλλοτριούμενον· ἡμεῖς δέ σοι καθάπερ ἑρμῇ λογίῳ τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. κἂν μὲν ὑπομείνωσι τὴν ἀκοὴν τὴν σὴν, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι· εἰ δὲ μὴ, ῥίψον ἐκ καθάπερ μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον ὡς νόθους. πάντως οὐδὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κελτοὺς, ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων. ὅσα δ᾽ ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς

χεῖρας

& aſſiduè ſcribe, vel potius diis juvantibus veni, tibique perſuade, quandiu abfueris, nos vita frui non poſſe dicere, niſi eatenus, quoad literas tuas legimus.

JULIANUS EIDEM.

Aquilam fingunt fabulæ, cúm veros fœtus explorare vult, implumes eos adhuc & teneros in cælum ferre, ſoliſque radiis objicere, tanquam Deo teſte verum patrem á falſo atque adultero ſejungat: at tibi nos tanquam Mercurio eloquentiæ Deo ſcripta noſtra offerimus, ut ſi aures tuas ſuſtinere poſſint, tu pro arbitrio tuo ſtatuas, an in vulgus evolare debeant: ſin minus, ea continuó projicias tanquam á Muſis aliena, aut flumine obruas ut adulterina. Sic certé Gallis injuriam nullam facit Rhenus, qui ſpurios infantes undis abripit, tanquam impuri lecti vindex: quos autem ex puro ſemine ortos agnovit, in ſumma aqua ſuſpẽdit, matriſq; tremen-

Scripta ſua Julianus mittit ad Maximum philoſophum emẽdanda. Collatio eſt ſimiliũ.

Hiſtoria hæc eſt apud Gal. de ſanitate tuenda.

M tis

tis manibus reddit, & quaſi verum incorruptumque caſti & laudabilis conjugii teſtimonium ſervato infante perſolvit.

JULIANUS ORIBASIO.

Narrat ſomnium ſuũ de gemina arbore, qua ſe Cõſtantiumque ſignificat: tũ de Euſebio eunucho cõqueritur.

Somniorum portas duas eſſe ait divinus Homerus, & variam iis eſſe fidẽ rerum futurarum: at ego te nunc, ſi unquam aliás, certó futura vidiſſe arbitror. Nam & ego hodie tale quiddam vidi. Arborem proceram in quodam triclinio peramplo & ſpatioſo inſitam putabam, quæ in terram ſe inflecteret, atque arbuſculam parvam & tenerã valdeque florentem ad radices agnatam haberet. Angebat me autem vehementer metus de exigua illa arbore, ne á quopiam una cum magna avelleretur. Et cúm propiús acceſſiſſem, cerno magnam arborem humi proſtratam, parvam autem erectã quidem, ſed á terra ſuſpenſam. Quod cúm vidiſſem, æſtuãs ac laborans, Heu, inquam, quãta arbor, & tamen eſt periculum, ne ſurculus etiã ei agnatus intereat. Hic quidam mihi ignotus omnino, Contemplare, ait, diligenter

χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

Ἰουλιανὸς Ὀρειβασίῳ.

Τῶν ὀνειράτων δύο πύλας εἶναί φησιν ὁ θεῖος Ὅμηρος, καὶ διάφορον εἶναι αὐτοῖς τὴν ὑπὲρ τῶν ἀποβησομένων πίστιν. ἐγὼ δὲ νομίζω σε νῦν, εἴπερ ποτὲ καὶ ἄλλοτε, σαφῶς ἑωρακέναι περὶ τῶν μελλόντων. ἐθεασάμην γὰρ καὶ αὐτὸς τοιοῦτον σήμερον. δένδρον γὰρ ᾤμην ὑψηλὸν ἔν τινι τρικλίνῳ σφόδρα μεγάλῳ πεφυτευμένον, εἰς ἔδαφος ῥέπον, ἐν τῇ ῥίζῃ παραπεφυκότος ἑτέρου μικροῦ καὶ νεοφυοῦς, ἀνθηροῦ λίαν. ἐγὼ δὲ περὶ τοῦ μικροῦ σφόδρα ἠγωνίων, μή τις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπάσῃ. καὶ τοίνυν ἐπεὶ πλησίον ἐγενόμην, ὁρῶ τὸ μέγα μὲν ἐπὶ τῆς γῆς ἐκτεταμένον· τὸ μικρὸν δὲ, ὀρθὸν μὲν, μετέωρον δὲ ἀπὸ γῆς. ὡς οὖν εἶδον, ἀγωνιάσας ἔφην, Οἵου δένδρου κίνδυνός ἐστι μηδὲ τὴν παραφυάδα σωθῆναι. καί τις ἀγνὼς ἐμοὶ παντελῶς, ὅρα, ἔφησεν, ἀκριβῶς, καὶ θάρρει·

τῆς ῥίζης γὰρ ἐν τῇ γῇ μενούσης, τὸ μικρότερον ἀβλαβὲς διαμένει, καὶ βεβαιότερον ἱδρυνθήσεται. Τὰ μὲν δὴ τῶν ὀνειράτων τοιαῦτα. θεὸς δὲ οἶδεν εἰς ὅ,τι φέρει. περὶ δὲ τοῦ μιαροῦ ἀνδρογύνου μάθοιμ᾽ ἂν ἡδέως ἐκεῖνο, πότε διελέχθη περὶ ἐμοῦ ταῦτα. πότερον πρὶν ἢ συντυχεῖν ἐμοὶ, ἢ μετὰ τοῦτο· δήλωσον οὖν ἡμῖν ὅ,τι ἂν οἷός τε ἦς. ὑπὲρ δὲ τῆς πρὸς αὐτὸν, ἴσασιν ὅτι πολλάκις αὐτοῦ τοὺς ἐπαρχιώτας ἀδικήσαντος, ἐσιώπησα παρὰ τὸ πρέπον ἐμαυτῷ, τὰ μὲν οὐκ ἀκούων, τὰ δὲ οὐ προσιέμενος, ἄλλοις δὲ ἀπιστῶν, ἔνια δὲ εἰς τοὺς συνόντας αὐτῷ τρέπων. ὅτι δέ μοι μεταδοῦναι τῆς τοιαύτης ἠξίωσεν αἰσχύνης, ἀποστείλας τὰ μιαρὰ καὶ πάσης αἰσχύνης ἄξια ὑπομνήματα, τί με πράττειν ἐχρῆν; ἆρα σιωπᾶν; ἢ μάχεσθαι; τὸ μὲν οὖν πρῶτον ἦν ἠλίθιον καὶ δουλοπρεπὲς καὶ θεομίσητον· τὸ δεύτερον δὲ, δίκαιον μὲν καὶ ἀνδρεῖον καὶ ἐλευθέριον, ὑπὸ δὲ τῶν ἐχόντων ἡμᾶς πραγμάτων οὐ συγχωρούμενον. τί τοίνυν ἐποίησα; πολλῶν παρόντων, οὓς ᾔδειν ἀναγγελοῦντας αὐτῷ, πάντη

καὶ

genter, & bono ſis animo: Radice enim humi manente, parvula illa arbor permanebit, firmiorque hærebit. Ac ſomnium quidẽ tale eſt: quó autẽ pertineat, Deus ſcit. Verúm de ſcelerato illo eunucho valdé cupio ſcire, quando iſta de me narraverit, utrum antequám mihi occurrit, an poſteá: tu quod poteris, nobis indicabis. Quód veró ad ipſum attinet, ſcit me perſæpe ſe provinciales vexante, tacuiſſe, contrá quám dignitas mea poſtularet: cúm quædam non audirem, alia non admitterem, nõnulla non crederem, multa in ejus familiares & domeſticos converterem. Quód autem mihi talem maculam inurrere voluit, miſſis libellis omni ſcelere & contumelia refertis, quid me facere oportuit? num tacere? an pugnare? illud ſtultum ac ſervile erat, Deoque ingratum: hoc juſtum quidem & forte, & libero dignũ, attamen per negotia, quibus tum implicati eramus, minimé licitũ. Quid igitur feci? multis præſentibus quos ei relaturos intelligebã: Omninó
 certé,

certé, inquam, iſte ſcripta ſua emendabit: nam adhuc quidem valdé eſt intemperans. Hoc ille audito tantum abfuit, ut ad ſanitatem & modeſtiam rediret, ut ea fecerit, quæ nullus modeſtus tyrannus feciſſet, præſertim cúm tam propé ab eo abeſſem. Quid hic faciendum erat homini Platonis & Ariſtotelis ſtudioſo? utrum miſeros homines in latronum poteſtatem dedere? an eos potiús pro mea parte defendere, qui jam (ut arbitror) oppreſſi debilitatique nefariis iſtorum artibus cycneum carmen canunt? Mihi certé turpe videtur tribunos militares, cúm ordinem deſeruerint, multare, quanquam mors eis ante oculos oppetenda eſſet, ac ne ſepultura quidem dignos judicare: in miſeris autem hominibus ab injuria vindicandis ordinem deſerere, cúm præſertim adverſus tales latrones dimicãdum ſit, & quidem Deo nobis auxilium ferẽte) ſicuti nos ad præliũ inſtruxit. Quód ſi etiam perpetiendum ſit aliquid, non parva conſolatio eſt, cũ recta & integra mẽtis conſcientia proficiſci. Vtinam dii Saluſtiũ virum probũ nobis concedant.

Ac

καὶ πάντως, εἶπον, διορθώσει τὰ ὑπομνήματα οὗτος ὁ δεῖνα· ἐπεὶ δεινὸς ἀγχίνους. τοῦτο ἐκεῖνος ἀκούσας, τοσοῦτον ἐδέησε τοῦ σωφρόνως τι πρᾶξαι, ὥστε πεποιηκέναι ὅσα νὴ τὸν θεὸν οὐδὲ εἷς μέτριος τύραννος, οὕτω μου πλησίον ὄντος. ἐνταῦθα τί πράττειν ἐχρῆν ἄνδρα τῶν Πλάτωνος καὶ Ἀριστοτέλους ζηλωτὴν δογμάτων; ἆρα περιορᾶν ἀνθρώπους ἀθλίους τοῖς κλέπταις ἐκδιδομένους; ἢ κατὰ δύναμιν αὐτοῖς ἀμύνειν, οἶμαι ὡς ἤδη τὸ κύκνειον ἐξάδουσι διὰ τὸ θεομισὲς ἐργαστήριον τῶν τοιούτων; ἐμοὶ μὲν οὖν αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους, ὅταν λείπωσι τὴν τάξιν καταδικάζειν. καίτοι χρὴ ἱκανὰ τεθνάναι παραχρῆμα. καὶ μηδὲ ταφῆς ἀξιοῦσθαι· τὴν δὲ ὑπὲρ ἀθλίων ἀνθρώπων ὑπολείπειν τάξιν, ὅταν δέῃ πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτοις. καὶ ταῦτα τοῦ θεοῦ συμμαχοῦντος ἡμῖν, ὥσπερ οὖν ἔταξεν. εἰ δὲ καὶ παθεῖν τι συμβαίη, μετὰ καλοῦ τοῦ συνειδότος οὐ μικρὰ παραμυθία πορευθῆναι. τὸν γὰρ χρηστὸν Σεβούστιον θεοὶ μὲν μοι χαρίσαιντο. κἂν

συμβαίη δέ τι διὰ τοῦτο τυγχάνειν διαδόχου, λυπήσει τυχὸν οὐδέν. ἄμεινον γὰρ ὀλίγον ὀρθῶς, ἢ πολὺν κακῶς πρᾶξαι χρόνον. οὐκ ἔστιν, ὡς λέγουσί τινες, τὰ περιπατητικὰ δόγματα τῶν στωϊκῶν ἀγεννέστερα. τοσούτῳ δὲ μόνον ἀλλήλων, ὡς ἐγὼ κρίνω, διαφέρει. τὰ μὲν γάρ ἐστιν ἀεὶ θερμότερα καὶ ἀβουλότερα· τὰ δὲ φρονήσεως ἄξια, τοῖς ἐγνωσμένοις ἐμμένειν.

Ἰουλιανὸς Εὐγενίῳ φιλοσόφῳ.

Δαίδαλον μὲν Ἰκαρίῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ. ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι· μόνος γὰρ κηρῷ λυσίμῳ τοῦ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. εἰ δέ μοι θέμις ἦν, κατὰ τὸν Τήιον ἐκεῖνον μελοποιόν, εὐχῇ τὴν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐκ ἂν δήπου πρὸς Ὄλυμπον, οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ᾽ εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην, ἵνα σὲ τὸ μέλημα τοὐμὸν· ὥς φησιν ἡ Σαπφὼ· περιπτύξωμαι. ἐπεὶ δέ με

ἀνθρω-

Ac ſi propterea ſucceſſor forte nobis dabitur, nihil erit, ut ſpero, moleſtum. Etenim breve tempus bene & innocẽter actum, peccanti immortalitati anteponẽdum eſt. Peripatetica philoſophia non eſt, ſicut quidam opinantur, ignavior Stoïca. Hoc autem, mea ſententia, inter utramque differt, quód altera ſit calidior magiſque turbulẽta: altera prudentior, nempe, in ſentẽtia permanendum.

JULIANUS EVGENIO
philoſopho.

Dædalum narrant pẽnas Icario é cera finxiſſe, arteque naturam vincere tentaſſe: at ego illius quidem artem laudo, prudentiam tamen requiro: quippé cúm ſolus ex omni memoria ſit auſus ceræ fluxæ ac fragili ſalutem filii committere: ego tamen, ſi mihi eſſet integrũ juxta Teji illius lyrici votũ, in avem mutari, non mehercule ad Olympum, neque ob amatorias aliquas querimonias, ſed in ipſa mõtium veſtrorum cacumina volarẽ, quó te meam (ut ait Sappho) curam amplecterer. Quoniam igitur *Scribit ad amicũ, & ab eo literas viciſſim petit.*

natura me in hoc ergaſtulum corporis incluſit, neq; in ſublime verba mea explicare concedit, quibus poſſum alis te ſequor,& ſcribo, & quo licet modo, tecum ſum. Homerus certé non alia ex cauſſa dixit verba alata, niſi quia omnẽ in partem ire poſſunt, ut velociſſimæ aves quocunque volunt, proſiliunt. Veruntamen tu quoque, amice, viciſsim ſcribe. Nam & tibi par eſt, vel major in dicẽdo alarum copia, qua & amicos potes commovere,& varié, tanquam præſens eſſes, delectare.

JULIANUS ECEBOLO.

Docet ſe non injuſté feciſſe, cum pro auro argentũ retulit: quód hoc illi præſtet.

Pindarus argenteas Muſas eſſe vult: quaſi artis illarum claritatem & ſplẽdorem cum clariſsima rerum omnium materia conferat. Homerus ille ſapiens argentum illuſtre, & aquam argenteam appellat, quód ipſa ſpeciei ſuæ hilaritate & nitore non ſecus atque Solis radiis colluceat. Sappho venuſta Lunam nominat argenteam, ob eamque cauſſam cæterorum ſyderum aſpectum ait ab ea obſcu-

ἀνθρωπίνου σώματος δεσμῷ κατακλείσασα ἡ φύσις, οὐκ ἐθέλει πρὸς τὸ μετέωρον ἁπλῶσαι τὸν λόγον, οἷς ἔχω σὲ μετέρχομαι, καὶ γράφω, καὶ σύνειμι τὸν δυνατὸν τρόπον. πάντως που καὶ Ομηρος αὐτοὺς οὐκ ἄλλου τοῦ χάριν, ἢ τούτου, πτερόεντας ὀνομάζει, δι' ὅτι δύνανται πανταχοῦ φοιτᾶν, ὥσπερ οἱ τάχιστοι τῶν ὀρνίθων, ἢ ἂν ἐθέλωσιν, ᾄττοντες. γράφε δὲ καὶ αὐτὸς ὦ φίλος. ἴση γὰρ δήπου σοὶ τῶν λόγων, εἰ μὴ καὶ μείζων ὑπάρχει ἡ πτέρωσις, ἣ τοὺς ἑταίρους μεταθεῖναι δύνασαι, καὶ πανταχόθεν, ὡς παρὼν, εὐφραίνειν.

Ἰουλιανὸς Ἐκηβόλῳ.

Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς μούσας, οἱονεὶ τὸ ἔκδηλον αὐτῶν, καὶ περιφανὲς τῆς τέχνης, εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι. Ομηρος δὲ ὁ σοφὸς τόν τε ἄργυρον αἰγλήεντα λέγει, καὶ τὸ ὕδωρ ἀργύρεον ὀνομάζει, καθάπερ ἡλίου καθαραῖς ἀκτῖσιν αὐτῷ τῷ τῆς εἰκόνος φαιδρῷ μαρμαρύσσον. Σαπφὼ ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησὶ, καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν

κρύπτειν τὴν ὄψιν. οὕτω καὶ θεοῖς τὸν ἄργυρον μᾶλλον ἢ τὸν χρυσὸν εἰκάσειν εἰς σὲ τρέπει. ἀνθρώποις γε μὴν, ὅτι πρὸς τὴν χρείαν ἐστὶν ὁ ἄργυρος τοῦ χρυσοῦ τιμιώτερος, καὶ συνέστι μᾶλλον αὐτοῖς οὐχ ὥσπερ ὁ χρυσὸς ἐπὶ γῆς κρυπτόμενος, ἢ φεύγων αὐτῶν τὴν ὄψιν, ἀλλὰ καὶ ὀφθῆναι καλὸς, καὶ ἐν διαιτήματι κρείττων, οὐκ ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν. εἰ δὲ καὶ σοὶ τοῦ πεμφθέντος ὑπό σου χρυσοῦ νομίσματος, εἰς τὸ ἴσον τῆς τιμῆς ἕτερον, ἀργύρειον ἀντιδίδομεν, μὴ κρίνῃς ἥττω τὴν χάριν, μηδὲ ὥσπερ τῷ Γλαύκῳ πρὸς τὸ ἔλαττον οἰηθῇς εἶναι τὴν ὅπλων τὴν ἀντίδοσιν· ἐπεὶ μηδὲ ὁ Διομήδης ἴσως ἀργυρέα χρυσῶν ἀντέδωκεν, ἅτε δὴ πολλῷ τῶν ἑτέρων ὄντα χρησιμώτερα, καὶ τὰς αἰχμὰς οἱονεὶ μολίβδου δίκην ἐκτρέπειν εἰδότα. ταῦτά σοι προσπαίζομεν, ἀφ᾽ ὧν αὐτὸς γράφεις, τὸ ἐνδόσιμον εἰς σὲ τῆς παῤῥησίας λαμβάνοντες. σὺ δὲ εἰ τῷ ὄντι χρυσοῦ τιμιώτερα ἡμῖν δῶρα ἐθέλεις ἐκπέμπειν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. ἐμοὶ γὰρ καὶ γράμμα

παρὰ

obſcurari. Quare liceat mihi apud te argentum potius quám aurum cum diis comparare. Nam quód hominibus ad uſum aptius & melius ſit argentũ quám aurum, quódque magis eis adſit, neque, ut aurum, in terra occultetur, aut eorum oculos vitet, ſed & aſpectu jucundum ſit, & ad vitam commodius, non mea, ſed veterum oratio eſt. Quód ſi nos etiam aureum numum abs te miſſum, argento remunerari voluimus, ne putes ideó leviore te affectum eſſe munere, neque ut Glauco in armorum cõmutatione, ſic tibi in hac referenda gratia exiſtimes accidiſſe: neq; enim Diomedes ipſe forſitan argentea arma pro aureis dedit, quippe cúm longé his utiliora illa eſſent, & ad retundendas inſtar plũbi acies aptiora. Hæc tecũ jocati ſumus, ex iis quæ ipſe ſcribis, occaſionẽ nacti liberius in te dicendi. Tu ſi pretioſiora auro munera nobis largiri vis, ſcribe, aſsidueque id facito. Mihi nãque

quanvis

quávis parva abs te epiſtola, tamen maximis etiam bonis anteponetur.

JULIANUS EVSTOCHIO.

Vocat amicũ ad honorem Conſulatus.

Heſiodus ille ſapiens vicinos ad convivia vocandos eſſe cenſet, ut communiter gaudeant, quãdoquidem cúm perturbatio caſuſque aliquis inopinatus incidit, communem dolorem perferũt: at ego amicos, non vicinos, vocandos exiſtimo. Quamobrẽ? quia vicinus poteſt aliquando eſſe inimicus: at amicus non magis id eſſe poteſt, quám quod album eſt, nigrum, aut quod calidum, frigidum. Te veró non ſolúm hoc tempore, ſed etiam multó anté amicum fuiſſe, & deinde ſemper eadem voluntate nos proſecutum eſſe, ſi nihil aliud, certé hoc teſtificatur, quód tam vehementer te amamus. Veni igitur, ut Conſulatus honore fungaris. Vtêris autem publicis equis, uno nimirum atque altero, qui tibi comitetur. Quód ſi eſt prætereá optandum aliquid, Enodiam tibi amicam, Enodiumque accerſivimus.

Callixenam ornat duplici ſacerdotio, quód in deorũ cultu permanſerit.

JULIANUS CALLIXENÆ.

Iuſtum virum longa arguit ſolúm dies: Sic ſané veteres: at ego addam etiam

pium

παρά σου μικρόν, ὅπου γὰρ ἂν εἴπῃ τις ἀγαθοῦ κάλλιον ἂν εἶναι κρίνεται.

Ἰουλιανὸς Εὐστοχίῳ.

Ἡσιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορτὰς τοὺς γείτονας, ὡς συνησθησομένους, ἐπεὶ καὶ συναλγοῦσι καὶ συναγωνιῶσιν ὅταν τις ἀπροσδόκητος ἐμπέσῃ ταραχή. φημὶ δὲ τοὺς φίλους δεῖν καλεῖν, οὐ τοὺς γείτονας. τὸ αἴτιον δὲ, ὅτι γείτονα μὲν ἔνεστιν ἐχθρὸν ἔχειν· φίλον δὲ οὐ μᾶλλον, ἢ τὸ λευκὸν μέλαν εἶναι, καὶ τὸ θερμὸν ψυχρόν. ὅτι δὲ ἡμῖν οὐ μόνον νῦν, ἀλλὰ καὶ πάλαι φίλος εἶ, καὶ διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο τεκμήριον, ἀλλὰ τό γε ἡμᾶς οὕτω διατεθεῖσθαι καὶ διακεῖσθαι περί σε, μέγα ἂν εἴη τούτου σημεῖον. ἧκε τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός. ἄξει δέ σε ὁ δημόσιος δρόμος, ὀχήματι χρώμενον ἑνὶ καὶ παρίππῳ. εἰ δὲ χρή τι καὶ προσεύξασθαι, τὴν Ἐνοδίαν εὐμενῆ σοι, καὶ τὸν Ἐνόδιον παρακεκλήκαμεν.

Ἰουλιανὸς Καλλιξείνῃ.

Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος, ὡς παρὰ τῶν ἔμπροσθεν ἔγνωμεν. ἐγὼ δὲ φαίην,

ὅτι καὶ τὸν ἀσεβῆ, καὶ τὸν φιλόθεον. ἀλλὰ ἐμαρτυρήθη, φησί, καὶ ἡ Πηνελόπη φίλανδρος. εἶτα μετὰ τοῦ φιλάνδρου τὸ φιλόθεον τις ἐν γυναικὶ δεύτερον τίθησι, καὶ οὐ φανεῖται πολλὴν πάνυ τῆς μανδραγόρου ἐκπεπωκώς; εἰ δὲ καὶ τοὺς καιροὺς τις ἐν νῷ λάβοι, καὶ τὴν Πηνελόπην ἐπαινουμένην σχεδὸν ὑπὸ πάντων ἐπὶ τῇ φιλανδρείᾳ, κινδυνευούσας δὲ τὰς ἀσεβεῖς ὀλίγῳ πρότερον γυναῖκας, καὶ προσθήκη δὲ τῶν κακῶν, ὅτι καὶ διπλάσιος ὁ χρόνος. ἆρ' ἔστι ἐπὶ τὴν Πηνελόπην ἀξίως παραβάλλειν; ἀλλὰ μὴ μικροὺς ποιοῦ τοὺς ἐπαίνους, ἀνθ' ὧν ἀμείψονται μέν σε πάντες οἱ θεοί, καὶ τὰ παρ' ἡμῶν διπλῇ σε τιμήσομεν τῇ ἱερωσύνῃ, πρὸς ᾗ πρότερον εἶχες, τῆς ἁγιωτάτης θεοῦ Δήμητρος, καὶ τῆς μεγίστης μητρὸς θεᾶς τῆς Φρυγίας ἐν τῇ θεοφιλεῖ Πισινοῦντι τὴν ἱερωσύνην ἐπιτρέπομέν σοι.

Ἰουλιανὸς Λεοντίῳ.

Ὁ λογοποιὸς ὁ Θούριος ὦτα εἶπεν ἀνθρώποις ὀφθαλμῶν ἀπιστότερα· τούτῳ ἐπί σου ἐναντίαν ἔχω γνώμην ἐγώ. πιστότερα

γὰρ

pium & religioſum virum tempore argui. Atenim, inquies, Penelopes etiam amor & fides erga virum tempore cognita eſt. Et quis tandē, inquam, in muliere amorem conjugis ſui religioni ac pietati anteponet, quin continuó mandragoræ multū bibiſſe judicetur? Quód ſi quis etiam tempora conſideret, & Penelopē ab omnibus propé de viri amore laudatam, cum mulieribus ante paucos dies ob pietatem de vita dimicantibus, quodque ad mala hæc accedit, temporis duplum conferat: an jure poterit Penelopen tecum comparare? Tu veró noli parvas eas laudes ducere, pro quibus & Dii omnes tibi meritas gratias relaturi ſunt, & nos pro parte noſtra te duplici ſacerdotio ornamus, atque ad illud quod anteá habebas, tū Cereris ſanctiſſimæ, tum magnæ matris Phrygiæ Deæ in ſacra Piſinunte ſacerdotium adjungimus.

JULIANUS LEONTIO.

Ille ſcriptor hiſtoriæ Thurius aures dixit eſſe hominibus minus fideles, quā oculos: At ego in te contrá ſentio, magiſque auribus quám oculis credo. Nū-

Aſcribit quēdam numero domeſticorū militum.

quam enim, ne ſi decies quidem te vidiſſem, tãtum fidei oculis, quantũ nunc auribus, tribuiſſem: quippe cúm ab homine minimé mendaci te, cúm ſemper virum eſſe intellexerim, tum in agẽdo, pedibus manibuſque (ut ait Homerus) ita contendere, ut teipſum ſuperare videaris. Quare armorum uſum tibi permittimus, armaque univerſa mittimus, quibus adhuc pedites utuntur (ſunt autem hæc equeſtribus armis leviora) teque domeſticorũ numero adſcribimus, qui ex iis delecti ſunt, qui arma geſtarunt, belliſque interfuerunt.

HERMOGENI PRÆFECTO Ægypti.

Conſtantio mortuo de ejus familiaribus quæri jubet.

Permitte mihi juxta melicos poëtas dicere, ó me præter ſpem ſervatum! ó nuntium præter expectationem allatum, quód evaſerim: nõ mehercule hydram multorum capitũ, fratrem meum Conſtantium (fuit is, qualis fuit) ſed beluas ipſius comites, quæ oculis unumquenque petebant, quæque illum reddebant atrociorem, qui per ſe non admodum clemens erat, licet multis eſſe vide-

γὰρ ἐστί μοι τὰ ὦτα τῶν ὀφθαλμῶν. οὐ γὰρ εἴποτε εἶδόν σε δεκάκις, οὕτως ἂν ἐπίστευσα τοῖς ὀφθαλμοῖς, ὡς νῦν ταῖς ἀκοαῖς πιστεύω ταῖς ἐμαυτοῦ, παρ' ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι δεδιδαγμένος, ὅτι πάντα ἀνὴρ ὢν, αὐτὸς ἑαυτοῦ κρείττων εἶ περὶ τὸ ῥέξαι· φησὶν Ὅμηρος χερσί τε καὶ ποσίν. ἐπιβλέψαντες οὖν σοι τὴν τῶν ὅπλων χρῆσιν, ἀπεστείλαμέν τε πανοπλίαν, ἣ τέως τοῖς πεζοῖς ἁρμόττει· κουφοτέρα δέ ἐστιν αὕτη τῆς τῶν ἱππέων· ἐγκατελέξαμεν δέ σε τῷ τῶν οἰκείων συντάγματι. γίνονται δὲ ἀπὸ τῶν * ὁπλοφορησάντων οὗτοι καὶ στρατευσαμένων. ἐγρ. ἀποφλοριζόντων.

Ἑρμογένει ὑπάρχῳ Αἰγύπτου.

Δός μοι κατὰ τοὺς μελικτὰς εἰπεῖν, ὦ παρ' ἐλπίδα σεσωσμένος ἐγώ, ὦ παρ' ἐλπίδας ἀκηκοὼς, ὅτι δὴ ἀπέφυγον, οὔτι μὰ Δία τὴν πολυκέφαλον ὕδραν τὸν ἀδελφόν μου Κωνστάντιον· ἐκεῖνος μὲν ἦν οἷος ἦν· ἀλλὰ τὰ περὶ αὐτὸν θηρία, πᾶσιν ἀποφθαλμιῶντα, ἃ κἀκεῖνον ἐποίει χαλεπώτερον, οὐδὲ τὸ καθ' ἑαυτὸν ὄντα τοῖς πᾶσι πρᾷον, εἰ καὶ ἐδόκει πολλοῖς

τοιοῦτος. ἐκείνῳ μὲν δὴ ἐπεὶ μακαρείτης ἐγένετο, κουφὴ γῆ· καθάπερ λόγος· τούτοις δὲ ἀδίκως τι παθεῖν οὐκ ἂν ἐθέλοιμι· ἴστω Ζεύς· ἐπεὶ δὲ αὖθις ἐπανίσανται πολλοὶ κατήγοροι, δικαστήριον ἐπείγεται. θεάσασθαι γάρ σε ηὐχόμην νὴ τοὺς θεούς. καὶ νῦν εὐμενέστατα ὅτι διεξῆλθης ἀκηκοὼς, ἥκειν παρακελεύομαι.

Ἰουλιανὸς Σαραπίωνι τῷ λαμπροτάτῳ.

Ἄλλοι μὲν ἄλλοις τὰς πανηγύρεις νομίζουσιν· ἐγὼ δ᾽ ἡδύ σοι γλυκείας ἑορτῆς σύνθημα, τῶν ἐπιχωρείων ἰσχάδων τὰς μακροκέντους ἑκατὸν ἐκπέμπω· τῷ μὲν τοῦ δώρου μεγέθει μικρὰν, τῷ κάλλει δὲ ἴσως ἀρκοῦσαν ἡδονὴν μνηστεύων. Ἀριστοφάνει μὲν οὖν δοκεῖ εἶναι πλὴν μέλιτος, τῶν ἄλλων γλυκύτερον τὰς ἰσχάδας. καὶ οὐδὲ τοῦτ᾽ ἀνέχεται τῶν ἰσχάδων εἶναι, γλυκύτερον, ὡς αὐτὸς ἐπικρίνας λέγει. Ἡροδότῳ δὲ ἄρα τῷ συγγραφεῖ πρὸς ἐπίδειξιν ἐρημίας ἄλλοθεν ἤρκεσεν εἰπόντι, Παρ᾽ οἷς οὔτε σῦκά ἐστιν, οὔτε ἄλλο ἀγαθὸν οὐδέν. ὥσπερ οὔτε ἄλλου τινὸς ἐν καρποῖς ἀγαθοῦ προτέρου

τῶν

videretur. Verúm illi, quandoquidem é vita jam exceſſit, terra (ut ajunt) ſit levis: iſtos autem injuſté pati quippiam nolim (ſcit Jupiter) ſed quia accuſatores nacti ſunt multos, in Curiam advola: videre enim te mediusfidius cupio: & nũc cúm te ſalvum eſſe libentiſſimé audierim, venire te jubeo.

JULIANUS SARAPIONI clariſſimo.

Alii aliis laudationes mittere ſolent: at ego tibi caricas noſtrates oblongas centum mitto, quas tãquam ſignum jucundum ſuavium epularum accipies. In quo voluptatem quidem, ſi ad muneris magnitudinem ſpectas, nõ magnam: ſin autem ad pulchritudinem, ſatis magnam fortaſſe percipies. Ariſtophanes ait, excepto melle, nil dulcius eſſe caricis: imó ne hoc quidem ipſum dulcedine præponendum illis eſſe poſteá judicat. Herodotus author hiſtoriæ, ad verã ſolitudinem oſtendendum, ſatis habuit ita dicere, Apud eos neq; fici ſunt, neq; aliud bonum ullum: tanquam ex omni fructuũ genere nullum melius majuſve

Mittit cuidã amico cẽtum caricas Damaſcenas: hinc encomiũ ficus & numeri cẽtenarii texitur.

ficu inveniatur, neque ubi ficus ſit, boni quippiam deſideretur. Homerus ille ſapiens cæteros fructus partim ob magnitudinem, partim ob colorem pulchritudinemve laudat: ſoli fico dulcedinis nomen attribuit. Mel etiam flavum vocat, veritus ne imprudens dulce id appellet, quod amarum perſæpe eſſe ſolet: at uni certé fico proprié hanc appellationem tribuit, ut nectari, quód ficus ſola ex omnibus dulcis ſit. Hippocrates ait mel ſenſu dulce, odore amarum eſſe, neque ei repugno: quia omnium conſenſu bilem procreat, & humores in contrarium ſaporem convertit: quæ res magis ipſum natura amarum eſſe demonſtrat. Nunquã enim in amaram naturam mutaretur, niſi id illi fuiſſet ab initio, ex quo in diverſum commigravit. At ficus non ſolúm ſenſu eſt dulcis, verúm etiã odore antecellit. Jam adeó utilis hominibus eſt, ut

præſi-

τῶν σύκων ὄντος, οὔτε ἔτι πάντως ἀγαθοῦ δέοντος, παρ' οἷς δὴ τὸ σῦκον. Ομηρος δὲ ὁ σοφὸς τὰ μὲν ἄλλα τῶν καρπῶν εἰς μέγεθος, ἢ χρόαν, ἢ κάλλος ἐπαινεῖ· μόνῳ δὲ τῷ σύκῳ τὴν τῆς γλυκύτητος ἐπωνυμίαν συγχωρεῖ. καὶ τὸ μὲν μέλι χλωρὸν καλεῖ, δεδιὼς μὴ λάθῃ γλυκὺ προσειπὼν, ὃ καὶ πικρὸν εἶναι πολλαχοῦ συμβαίνει· τῷ σύκῳ δὲ ἄρα μόνῳ ἀποδίδωσι τὴν οἰκείαν εὐφημίαν, ὥσπερ τῷ νέκταρι, διότι καὶ μόνον γλυκὺ τῶν ἄλλων ἐστί. καὶ μέλι μὲν Ιπποκράτης φησὶ καὶ γλυκὺ τὴν αἴσθησιν, καὶ πικρὸν εἶναι πάντως τὴν ἀνάδοσιν, καὶ οὐκ ἀπιστῶ τῷ λόγῳ· χολῆς γὰρ αὐτὸ ποιητικὸν εἶναι σύμπαντες ὁμολογοῦσι, καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως. ὃ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικρότητος κατηγορεῖ τὴν φύσιν. οὐ γὰρ ἂν εἰς τοῦτο μετέβαλλεν ὁ πικρόν ἐστιν, εἰ μὴ καὶ πάντως αὐτῷ προσῆν ἐξ ἀρχῆς τοῦτο, ἀφ' οὗ πρὸς τὸ ἕτερον μετέπιπτε. σῦκον δὲ οὐκ αἰσθήσει μόνον ἡδὺ, ἀλλὰ καὶ ἀναδόσει χρηστόν ἐστιν. οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον, ὥστε καὶ ἀλεξι-

φάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρμά-
κου φησὶν Ἀριστοτέλης εἶ) · καὶ τοῖς δείπνοις
οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν παρατίθεσθαί
τε καὶ ἐπιτραγηματίζεσθαι. καθάπερ ἀντ᾽ ἄλ-
λης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμά-
των ἀδικίαις περιπτυσσόμενον. καὶ μὴν ὅτι
θεοῖς τὸ σῦκον ἀνάκειται, καὶ θυσίας ἐστὶν ἁπά-
σης ἐμβώμιον, καὶ ὅτι παντὸς λιβανωτοῦ κρεῖτ-
τον ἐς θυμιάματος σκευασίαν ἐστὶν, οὐκ ἐμὸς
ἴδιος οὗτος ὁ λόγος, ἀλλ᾽ ὅστις τὴν χρείαν αὐτοῦ
ἔμαθεν, οἶδεν ὡς ἀνδρὸς σοφοῦ καὶ ἱεροφάντου
λόγος ἐστί. Θεόφραστος δὲ ὁ καλὸς ἐν γεωρ-
γίας παραγγέλμασι τὰς τῶν ἑτεροφύτων δέν-
δρων γενέσεις ἐκθεὶς, καὶ ὅσαι ἀλληλούχαις
ἐγκεντρίσεσιν εἴκουσι, πάντων, οἶμαι, τῶν φυ-
τῶν μᾶλλον ἐπαινεῖ τὸ συκῆς τὸ δένδρον, ὡς ἂν
τι ποικίλης καὶ διαφόρου γενέσεως δεκτικὸν,
καὶ μόνον τῶν ἄλλων εὔκολον παντοίου γένους
ἐνεγκεῖν βλάστην, εἴ τις αὐτοῦ τῶν κλάδων ἐκ-
τεμὼν ἕκαστον, εἶτα ἐκρήξας, ἄλλην ἐς ἄλλον τῶν
ἠρέμων ἐμφυῆ γονὴν ἐναρμόσειεν, ὡς ἀρ-
κεῖν ἤδη πολλάκις αὐτοῦ, καὶ ἀνθ᾽ ὁλοκλήρου

κήπου

præſidium ad quævis venena ſalutare Ariſtoteli videatur: ac menſis etiam inchoandis & claudendis non ob aliam cauſſam adhiberi: tanquam hoc unum pro omnibus remedium adverſus ciborum injurias exhibeatur. Enimveró diis ficum conſecrari, omnibuſque aris adhiberi, & quovis thure ad odores aptiorem eſſe, non mea eſt oratio, ſed quiſquis uſum ejus didicit, á ſapiente aliquo homine,ſacrorumque antiſtite manaſſe intelligit. Theophraſtus ille vir egregius in iis, quæ de agricultura ſcripſit, cúm de arborum quæ in aliis inſeri poſſunt, natura mutuaque inſitione diſſerit, præcipué ficum commendat, quód variorum generum arbores admittat, & una ex omnibus facilé aliarum ſtirpem ferat, ſi quis ejus ſingulos ramos amputet, & in eorum quenque diffiſum,aliarum arborum ſobolem inſerat: ut perſæpe hujus unius aſpectus pro

pro horto integro eſſe poſſit,quód ut in prato amœniſſimo, ſic ipſa varium ac multiplicem omnis generis fructuum ſplendorem á ſeſe mittat. Et cúm cæterarum arborum poma exigui temporis ſint, neque ætatem ferant: ſola ficus ultra annum vivit, & ſequentis fructus ortum comitatur. Itaque Homerus in horto Alcinoi ait, fructus alios ſuper aliis ſeneſcere. Quod in cæteris fortaſſe poëtica fabula videri poteſt: in ficu certé cum veritate conſentiens oratio eſt, quia hic fructus omnium maximé ad diuturnitatẽ ſervatur. Ac cúm ea ſit ficus, ut opinor, natura,tamen apud nos longé præſtantior naſcitur: ut aliis quidem plantis collata, facilé præſtet omnibus,ipſi veró ficui omnino noſtra antecellat: & reliquas omnes genere vincat, á noſtra vincatur, & hac cum utriſq; collatione rurſus ſervetur, tum quia cæteris,ut par eſt,excellit,tum quia ea parte qua vincitur,rurſus in univerſo genere vincit.Nec ſané immeritó nobis

κήπου τὴν ὄψιν, οἷς ἐν λειμῶνι χαριεστάτῳ ποικίλλων τινὰ καὶ πολυειδῆ τῶν καρπῶν ἀφ' ἑαυτοῦ τὴν ἀγλαΐαν ἀντιπεπομφότος. καὶ τὰ μὲν ἄλλα τῶν ἀκροδρύων, ἔστιν ὀλιγοχρόνια, καὶ τὴν μονὴν οὐκ ἀνέχεται· μόνῳ δὲ τῷ σύκῳ καὶ ὑπερενιαυτίζειν ἔξεστι, καὶ τῇ τοῦ μέλλοντος καρποῦ γενέσει συνενεχθῆναι. ὥστε φησὶ καὶ Ὅμηρος ἐν Ἀλκινόου κήπῳ, τοῖς καρποῖς ἀλλήλοις ἐπιγηράσκειν. ἐπὶ μὲν οὖν τῶν ἄλλων ἴσως ἂν μῦθος ποιητικὸς εἶναι δόξειε, μόνῳ δὲ τῷ σύκῳ πρὸς τὸ τῆς ἀληθείας ἐναργὲς ἂν συμφέροιτο, διότι καὶ μόνον τῶν ἄλλων καρπῶν ἐστὶ μονιμώτερον. τοιαύτην δὲ ἔχον, οἶμαι, τὸ σῦκον τὴν φύσιν, πολλῷ κρεῖττόν ἐστι παρ' ἡμῖν τὴν γένεσιν· ὡς εἶναι τῶν μὲν ἄλλων φυτῶν αὐτὸ τιμιώτερον, αὐτοῦ δὲ τοῦ σύκου τὸ παρ' ἡμῖν θαυμασιώτερον· καὶ νικᾶν μὲν αὐτὸ τῶν ἄλλων τὴν γένεσιν, αὖθις δ' ὑπ' αὐτοῦ τοῦ παρ' ἡμῖν ἡττᾶσθαι, καὶ τῇ πρὸς ἑκάτερον ἐγκρίσει πάλιν ἐρίζεσθαι, κρατοῦν μὲν, ὡς εἰκὸς, οἷς δ' αὖ κρατεῖσθαι δοκεῖ, πάλιν ἐς τὸ καθόλου νικῶν. καὶ τοῦτο οὐκ ἀπεικότερον παρ' ἡμῖν

μόνοις

μόνοις συμβαίνει. ἔδει γὰρ, οἶμαι, τὴν Διὸς πόλιν ἀληθῶς, καὶ τὸν τῆς ἑῴας ἁπάσης ὀφθαλμόν· τὴν ἱερὰν καὶ μεγίστην Δάμασκον λέγω· τοῖς τε ἄλλοις σύμπασιν, οἷον ἱερῶν κάλλει, καὶ νεῶν μεγέθει, καὶ ὡρῶν εὐκαιρίᾳ, καὶ πηγῶν ἀγλαΐᾳ, καὶ ποταμῶν πλήθει, καὶ γῆς εὐφορίᾳ νικῶσαν, μόνην ἄρα καὶ τῷ τοιούτῳ φυτῷ πρὸς τὴν τοῦ θαύματος ὑπερβολὴν ἀρκέσαι. οὐδὲν οὖν ἀνέχεται τῆς μεταβολῆς τὸ δένδρον, οὐδὲ ὑπερβαίνει τοὺς ἐπιχωρίους ὅρους τῆς βλάστης, ἀλλ' ὥσπερ αὐτόχθονος φυτοῦ νόμῳ τὴν ἐξ ἀποικίας φύσιν ἀρνεῖται. καὶ χρυσὸς μὲν, οἶμαι, καὶ ἄργυρος ὁ αὐτὸς πολλαχοῦ φύεται· μόνη δὲ ἡ παρ' ἡμῖν χώρα τίκτει φυτὸν ἀλλαχοῦ φῦναι μὴ δυνάμενον. ὥσπερ τὰ ἐξ Ἰνδῶν ἀγώγιμα, καὶ οἱ Περσικοὶ σῆρες, ἢ ὅσα ἐν τῇ Αἰθιόπων γῇ τίκτεται μὲν καὶ λέγεται, τῷ δὲ τῆς ἐμπορείας νόμῳ πανταχοῦ διαβαίνει· οὕτω δὴ καὶ τὸ παρ' ἡμῖν σῦκον ἀλλαχοῦ τῆς γῆς οὐ γινόμενον, πανταχοῦ παρ' ἡμῶν στέλλεται, καὶ οὔτε πόλις, οὔτε νῆσός ἐστιν, ἣν οὐκ ἐπέρχεται τῷ τῆς ἡδονῆς θαύματι. ἀλλὰ καὶ

θάπε-

nobis ſolis iſtud accidit. Etenim æquum erat, opinor, veram Jovis urbem, totiuſque Orientis oculum (ſacram & ampliſſimam Damaſcum dico) cúm omnibus aliis rebus, ut ſacrorum elegantia, templorum magnitudine, fructuũ tempeſtivitate, fontium nitore, flùviorum multitudine, terræ ubertate vinceret, ſolam etiam plantæ iſtius nobilitate miraculum de ſe majus cõmovere. Quocirca hæc arbor mutationem omnem ſoli reſpuit, neque patrios fines egreditur, ſed velut indigena planta ortum ex colonia aſpernatur. Aurum atque argentum, ſicuti arbitror, idem multifariam naſcitur: at ſola hæc noſtra regio fert plantam, quæ alibi naſci non poteſt. Vt merces indicæ, ut Perſici ſeres, quæve in Æthiopum terra naſcuntur & prædicantur, hac mercatoria lege in omnes orbis partes diſtrahuntur: ſic noſtra hæc ficus nuſqnã alibi naſcitur, & á nobis in omnem locum dimittitur: neque civitas ulla eſt, aut inſula, in quam voluptatis ſuæ admiratione nõ

perve-

pervenerit. Quin & regales menſas ornat,atque ad omnium conviviorum ornatum adhibetur: neque intritum, aut ſcriblita, aut panis dulciarius, aut denique aliud condimenti genus pari ſuavitate unquam reperietur. Adeó eſt mirabilis iſte cibus præ aliis omnibus. Ac cæteræ quidem ficus autumno feré eduntur, aut ad uſum ſimilem inſolantur: at noſtræ duntaxat utrunque uſum præſtant,& valent in arbore,& præſtantiores ſunt in ſole paratæ. Quód ſi pulchritudinem iſtarum in arbore conſideres, & quemadmodum á ſingulis ramis pendeant longioribus pediculis inſtar calycum, aut quo pacto arbor fructum in orbem circumeat, multiplicem intereá ſpeciem rotunditate illa exhibens, dixeris ſané quaſi torquem in collo, ſic in iſto fructu ramorum delectum eſſe. Prætereá in arte, quæ ad iſtas ficus ſervandas adhibetur, non minus eſt ſtudii, quám in uſu voluptatis. Non enim, ſicut cæteræ ficus, in unum

locum

τράπεζαν βασιλικὴν κοσμεῖ, καὶ παντὸς δείπνου σεμνόν ἐστιν ἐγκαλλώπισμα· καὶ οὔτε ἔνθρυπτον, οὔτε στρεπτὸν, οὔτε νεήλατον, οὔτε ἄλλο καρυκείας γένος οὐδὲν ἔσται ἥδυσμα ἴσον, ἢ ἀφίκοιτο· τοσοῦτον αὐτοῖς τῶν τε ἄλλων ἐδεσμάτων, καὶ δὴ καὶ τῶν ἑκασταχοῦ περίεστι τοῦ θαύματος. καὶ τὰ μὲν ἄλλα τῶν σύκων ἢ ὀπωρινὴν ἔχει τὴν βρῶσιν, ἢ τερσαινόμενα ἐς τὸ ὅμοιον ἔρχεται· τὸ δὲ παρ' ἡμῖν μόνον ἀμφοτερίζει τῇ χρείᾳ, καὶ καλὸν μέν ἐστιν ἐπιδένδριον, πολλῷ δὲ κάλλιον, εἰ ἐς τερσίαν ἔλθοι. εἰ δὲ καὶ τὴν ὥραν αὐτοῦ τὴν ἐν τοῖς δένδρεσιν ὀφθαλμῷ λάβοις, καὶ ὅπως ἑκάστου τῶν πρέμνων ἐπιμήκεσι τοῖς κέντροις οἱονεὶ καλύκων δίκην ἀπήρτηνται), ἢ ὅπως ἐν κύκλῳ περιθεῖ τῷ καρπῷ τὸ δένδρον ἄλλας μετ' ἄλλας ἐν στοίχῳ περιφέρει πολυειδεῖς ἀγλαΐας μηχανώμενον, φαίης ἂν αὐτοῖς καθάπερ ἐν ὅρμῳ δέρης τὰς τῶν δένδρων ἐξαιρέσεις αὐτοῦ. καὶ ἡ πρὸς χρονίαν μονὴν ἐπιτέχνησις οὐκ ἐλάττονα τῆς ἐς τὴν χρείαν ἡδονῆς ἔχει φιλοτιμίαν. οὐ γὰρ ὥσπερ τὰ ἄλλα τῶν σύκων ὁμοῦ καὶ

κατ' αὐτὸν ἔρριπται, οὐδὲ καθάπερ σωρηδὸν ἢ χύδην ἡλίῳ τερσαίνεται· ἀλλὰ πρῶτον μὲν ἠρέμα τῶν δένδρων αὐτὸ ταῖς χερσὶν ἀποδρέπουσιν, ἔπειτα ὄρπηξιν ἢ ῥάβδοις ἀκανθώδεσι τῶν τοίχων ἀπαρτῶσιν, ἵνα λευκαίνηται μὲν ἡλίῳ καθαρῷ προσομιλοῦντα, μένῃ δ' ἀνεπιβούλευτα τῶν ζώων τε καὶ ὀρνιθίων, οἱονεὶ τῶν κέντρων τῇ διεξήσει δορυφορούμενα. καὶ ὑπὲρ μὲν γενέσεως αὐτῶν, καὶ γλυκύτητος, καὶ ὥρας, καὶ ποιήσεως, καὶ χρείας, ταῦτά σοι παρ' ἡμῶν ἡ ἐπιστολὴ προσπαίζει. ὅ γε μὴν τῶν ἑκατὸν ἀριθμὸς, ὡς ἐστι τῶν ἄλλων τιμιώτερος, καὶ τὸ τέλεον ἐν αὐτῷ τῶν ἀριθμῶν περιγράφων, μάθοι ἄν τις θεωρῶν τῇδε. καὶ οὐκ ἀγνοῶ μὲν, ὡς παλαιῶν καὶ σοφῶν ἀνδρῶν ὁ λόγος, τοῦ ἀρτίου τὸ περιττὸν προέχειν, οὐδὲ ὡς ἀρχὴν φασιν αὐξήσεως εἶναι τὸ μὴ συνδυάζον. τὸ γὰρ ὅμοιον θατέρῳ, μένειν ὁποῖον καὶ τὸ ἕτερον. δυοῖν δὲ γενομένοιν, τὸν τρίτον εἶναι τὴν περιττότητα. ἐγὼ δὲ, εἰ καὶ τολμηρότερος ὁ λόγος ἐστὶ, φαίην ὅμως. ἀρχῆς μὲν εἰσιν οἱ ἀριθμοὶ πάντως ἐξηρτημένοι· καὶ τὸ προσε-

χὲς

locum conjiciuntur, neque acervatim confuſeve in ſole ſiccantur: ſed ex arbore primùm ſenſim decerpuntur, deinde ex arbuſtis ramiſve aculeatis in muro ſuſpenduntur, partim ut aſſiduo puri ſolis uſu albeſcant, partim ut ab inſidiis animantium & avicularum tutæ permaneant, aculeorum auxilio tanquã ſatellitum comitatu circunſeptæ. Ac de earum ortu, dulcedine, ſpecie, confectione, utilitate, noſtra epiſtola adhuc luſit. Deinceps numerum centenarium aliis omnibus numeris nobiliorem eſſe, omniumq; perfectionem numerorum eo contineri doceamus. Equidem non ſum neſcius, veteres, eoſdemque ſapientes homines imparem numerum pari præpoſuiſſe, atq; amplificationis fontem putaviſſe illud, quod bifariam dividi nequeat: Quod enim alteri ſimile eſt, tale ſemper manere, quale ſit alterum: cúm veró duo numeri ſunt, tertium eſſe imparilitatem: At ego dicam fortaſſe audacius, dicam tamen. Numeri omnes ex uno principio apti ſunt: &

O poſſunt

poſſunt per quenvis numerum omninó augeri, præſtat tamen amplificationis cauſſam pari numero potius quám impari tribuere. Etenim unum non erit impar, ſi non habeat cum quo impariter conferri poſſit: at binarii copulatio duplicem imparilitatem procreat, ideoque é duobus numeris poſteá tertius exiſtit: & rurſum cúm binarius alter adjungitur, fit quaternarii amplificatio: omninoque numerorum inter ſe conjunctio, inæqualitatem ex utriſque ortam oſtendens, in binarii numerum concluditur. Hoc poſito dicam, primo denario in ſeipſum circunductο, centenarium totum effici: ut ex uno quidem decem, ex his autem in ſe redeuntibus centum procreentur: hinc item é centenariis, numerorum ſumma univerſa vires ſumat, unitate intereá minimé feriante, niſi cúm binarii commiſtio inæqualitatem creat,
&

χὲς τῆς αὐξήσεως διὰ παντὸς κομίζοιντο· πολλῷ γε μὴν εἶναι δικαιότερον τῷ ἀρτίῳ μᾶλλον ἢ τῷ περιττῷ τὴν τῆς αὐξήσεως αἰτίαν προσκεῖσθαι. ὁ μὲν γὰρ εἷς ἀριθμὸς οὐκ ἂν εἴη περιττὸς, οὐκ ἔχων ὅτου περιττὸς γένοιτο. ἡ δὲ τῆς δυάδος συζυγία τίκτει διπλῆν τὴν περιττότητα, κἀκ τῶν δυοῖν ἀριθμῶν ὁ τρίτος εἰκότως εἰς αὔξησιν ἔρχεται. πάλιν τε ἐν τῇ τῆς ἑτέρας δυάδος μίξει, τῆς τετράδος τὴν ὑπεροχὴν λαμβανούσης. καὶ ὅλως ἡ πρὸς ἄλληλα κοινωνία, τὴν ἐξ ἑκατέρου περιττότητα φαίνουσα, εἰς τὸν τῆς δυάδος ἀριθμὸν περικλείεται. δεδομένου δὴ τούτου φαίην ἄν, οἶμαι, τῆς πρώτης δεκάδος τὴν εἰς αὐτὸ περιφέρειαν ἀνακυκλούσης, εἰς τὸν τῆς ἑκατοντάδος ἀριθμὸν τὸ ὅλον διαβαίνειν· ὡς τῷ μὲν ἑνὶ τὴν αὔξησιν εἰς δέκα συντείνειν. πάλιν δ' αὖ τὴν δεκάδα δι' αὐτῆς ἀνιοῦσαν εἰς τὸν ἑκατὸν ἀριθμὸν συντελεῖσθαι. κἀντεῦθεν αὖ πάλιν ἐξ ἑκατοντάδων τὸ ὅλον τῶν ἀριθμῶν τὴν δύναμιν καρποῦσθαι, μήτε τοῦ ἑνὸς ἠρεμοῦντος, εἰ μή τι τῆς δυάδος ἐν τῇ μίξει τὸ περιττὸν ἀεὶ τικτούσης

τε καὶ εἰς ἑαυτὴν αὖθις ἀνακαλουμένης, ἄγεις αὖ ἑτέρα πάλιν ἑκατοντάδι τὸν ἀριθμὸν τὸ συναγόμενον κατακλείσῃ, καὶ τὸ τέλεον αὐτῷ προσάπτουσα πάλιν ἐξ αὐτοῦ εἰς τὸ ἕτερον ἑρπύσῃ, ταῖς τῶν ἑκατοντάδων ἐπηγορείαις ἀεὶ τὸ ὅλον εἰς τὸ τῆς καταλήψεως ἄπειρον ἀναφέρουσα. δοκεῖ δέ μοι καὶ Ὅμηρος οὐχ ἁπλῶς οὐδὲ ἀργῶς ἐν τοῖς ἔπεσι τὴν ἑκατοντάθυσανον αἰγίδα τῷ Διῒ περιθεῖναι, ἀλλά τινι κρείττονι καὶ ἀπορρήτῳ λόγῳ τοῦτο αἰνίττεται λέγων, ὡς ἄρα τῷ τελεωτάτῳ θεῷ τὸ τέλεον τῶν ἀριθμῶν περιάψε, καὶ ᾧ μόνῳ παρὰ τοὺς ἄλλους αὖ δικαιότερον κοσμοῖτο· ἢ ὅτι τὸν ξύμπαντα κόσμον, ὃν εἰς αἰγίδος σχῆμα τὸ τῆς εἰκόνος περιφερὲς ξυνείληφεν, οὐκ ἄλλος πως, ἢ ὁ τῶν ἑκατὸν ἀριθμὸς περιγράφει, τῇ κατὰ κύκλον ἑκατοντάδι τὴν ἐς τὸ ὅλον τοῦ νοητοῦ κατανόησιν ἐφαρμόττων. ὁ δ' αὐτὸς λόγος οὗτος καὶ τὸν ἑκατοντάχειρα τὸν Βριάρεω καθίζει πάρεδρον τῷ Διῒ, καὶ πρὸς τὴν τοῦ πατρὸς ἁμιλλᾶσθαι συγχωρεῖ δύναμιν, οἷα ἐν τῷ τοῦ ἀριθμοῦ τελέῳ τὸ τέλεον αὐτῷ τῆς ἰσχύος ἀποδι-

& in ſeipſam iterũ revocatur, dum rurſus in centenarium alterum totius numeri ſumma concludatur, atque hoc abſoluto & perfecto ad alterum ex eo procedat, & centenariorum appellationibus perpetuó ſummam in infinitum producat. Homerus mihi quidem videtur non leviter, neque ſine cauſſa in poëmate ſuo clypeum cẽtum loris prædictum Jovi tribuiſſe: verúm magna aliqua & abdita ratione iſtud dicendo involvit, quoniam videlicet perfectiſſimo Deo perfectiſſimum numerum accommodabat, eumque numerum quo maximé exornari poſſet: aut quia mundum univerſum, quem clypei forma propter rotunditatem comprehendit, non alius numerus deſcribit, quám centenarius, cujus rotunditati, mundi intelligentiam accommodat. Eadem ratione centimanus Briareus juxta ipſum Jovem collocatur, & cum patre certat, quaſi perfectum ejus robur perfecto nu-

mero exprimatur . Quin & Pindarus Thebanus cúm Typhoëi cædem in illo triumphali carmine celebrat, & maximi hujus gigantis robur maximo deorum regi attribuit , non alio nomine eum magnificé adeó commēdat, quám quód gigantem centeno capite horrendum uno ictu afflixerit atque proſtraverit : tanquam nullus alius gigas manum cum Jove conſerere potuerit, niſi quem ſolum mater centum capitibus armarat: neque ullus Deus præter Jovem tanta victoria dignus eſſet. Simonides poëta lyricus magnæ laudis loco Apollinē ἱκατὸν appellat, & quaſi hac una ſacra nota ejus cognomen exornat , quód Pythonem ſerpentem centum ſagittis, ut ait, confecerit: imó magis ac ſæpius ſe ἱκατὸν, quám Pythium appellari gaudet, quód illo cognomine tanquam hæreditatis alicujus titulo exornetur. Jam illa ipſa Jovis nutrix Creta,

quaſi

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

ἀποδιδούς. καὶ μὴν καὶ Πίνδαρος ὁ Θηβαῖος τὴν ἀναίρεσιν τοῦ Τυφωέως ἐν Ἐπινικίοις κηρύττων, καὶ τοῦ μεγίστου τούτου γίγαντος κράτος τῷ μεγίστῳ βασιλεῖ τῶν θεῶν περιτιθείς, οὐχ ἑτέρωθεν αὐτῷ τῆς εὐφημίας κρατύνει τὴν περιβολήν, ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφαλον ἑνὶ βλήματι καθελεῖν ἤρκεσεν· ὡς οὔτε τινὸς ἄλλου εἰς χεῖρα τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου γίγαντος νομισθέντος, ἢ ὃν ἡ μήτηρ μόνον τῶν ἄλλων ἑκατὸν κεφαλαῖς ὥπλισεν, οὔτε ἑτέρου τινὸς θεῶν ἢ μόνου Διὸς ἀξιονικωτέρου πρὸς ταύτην τοσούτου γίγαντος καθαίρεσιν ὄντος. Σιμωνίδῃ δὲ ἄρα τῷ μελικῷ πρὸς τὴν Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν ἑκατὸν προσειπόντι, καὶ καθάπερ ἀντ' ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτοῦ τὴν ἐπωνυμίαν κοσμῆσαι, διότι τὸν πύθωνα τὸν δράκοντα βέλεσιν ἑκατόν, ὥς φησιν, ἐχειρώσατο· καὶ μᾶλλον αὐτὸν ἑκατὸν ἢ πύθιον χαίρειν προσαγορευόμενον, οἷα κλήρου τινὸς ἐπωνυμίας σύμβολα προσφωνούμενον. ἦγε μὴν τὸν Δία θρεψαμένη νῆσος ἡ Κρήτη, καθάπερ τροφεῖα τοῦ

Διὸς ὑποδοχῆς ἀντιλαβοῦσα, τὴν ἑκατὸν πόλεων ἀριθμῷ τετίμηται. καὶ Θήβας δὲ ἄρα τὰς ἑκατοντάπυλους, οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν ἐπαινεῖ Ὅμηρος, διότι ταῖς πύλαις ταῖς ἑκατὸν, κάλλος ἦν θαυμαστόν. καὶ σιωπῶ θεῶν ἑκατόμβας, καὶ ναοὺς ἑκατοντάπεδους, καὶ βωμοὺς ἑκατονταχρήπιδας, καὶ τοὺς ἑκατοντάδοχους ἀνδρῶνας, καὶ τὰς ἀρούρας δὲ τὰς ἑκατοντάπλεθρους, καὶ ὅσα ἄλλα θεῖά τε καὶ ἀνθρώπινα τῇ ἀριθμοῦ τοῦδε προσηγορίᾳ συνείληπται. ὅγε μὴν ἀριθμὸς οὗτος οἶδε καὶ στρατιωτικὴν ὁμοῦ καὶ εἰρηνικὴν τάξιν κοσμῆσαι, καὶ φαιδρύνει τὴν ἑκατόνανδρον λοχαγίαν· τιμᾷ δὲ ὅδε δικαστῶν ἐς τὸ ἴσον ἥκουσαν ἐπωνυμίαν. καί με καὶ πλείω τούτων ἔχοντα λέγειν, ὁ τῆς ἐπιστολῆς ἐπιστρέφει νόμος. σὺ δ' ἀλλὰ συγγνώμην ἔχειν τῷ λόγῳ, διότι καὶ ταῦτα πλείω τῶν ἱκανῶν εἴρηται. καὶ εἰ μὲν ἔχει μέτριον ὑπὸ σοὶ κριτῇ, καλὸν ἐγχείρημα, πάντως καὶ πρὸς τοὺς ἄλλους ἔκφορον ἔσται, τῆς παρά σου ψήφου τὴν μαρτυρίαν δεξάμενον· εἰ δὲ χειρὸς ἑτέρας προσδεῖται

πρὸς

quaſi Jovis educati & ſuſcepti mercede, centum urbium numero ornata eſt. Thebas etiam ἑκατονταπύλους nominat Homerus, propterea quód centum portis maxima eſſet dignitas ac pulchritudo. Taceo deorum hecatombas, templa Hecatompeda, aras centena baſi, centenarios andronas, centijugera arva, & cætera divina aut humana, quæ hujus numeri appellatione continentur. Iſte ipſe numerus & belli & pacis ordines decorat, centurias militares exhilarat: judicum appellationem, quæ pari ratione continetur, honorat. Ac me quidem, cúm plura poſſem dicere, lex epiſtolæ prohibet. Tu intereá ignoſces, quód plura etiam quám ſatis eſt, diximus. Quód ſi judice te mediocritatem aſſecuta erit, bene eſt, ad alios etiam exire poterit, tui judicii teſtimonio freta: ſin alterius manum deſiderat, ut

ut quod vult, aſſequatur, quis te uno aptior fuerit ad eam, ita exornandam, ut hominum oculis fruatur?

JULIANUS JUDÆORUM Reip. ſi vera eſt.

Judæis vectigalia quędã remittit.

Superiora tempora non tam vobis ob ſervitutẽ moleſta fuêre, quám quód tabulis injuſſu principis emiſſis obnoxii eſſetis, immenſumque aurum in ærarium inferretis: quam rem ego magna ex parte meis vidi oculis, tum multó magis ex ipſis tabellis, quæ contra vos aſſervabantur, perſpexi: quin & paratum jam iterum contra vos vectigal, prohibui, & impietatem hanc deteſtabilem compreſſi, tabulaſque incendi, quæ in meis ſcriniis ad vos opprimendos cuſtodiebantur: ut nemini liceat deinceps tantæ impietatis rumorem in vos ſpargere. Neque ſané harum injuriarum cauſſa Conſtantio fratri viro memorabili potius tribuenda videatur, quám nõnullis animo barbaris, & mẽte impiis,

πρὸς δὲ τοῦ σκοποῦ συμπλήρωμα, τίς ἂν σοῦ καλλίων εἴη τὴν γραφὴν εἰς κάλλος ἀκριβώσαντος πρὸς τὴν τῆς θέας ἡδονὴν ἀπολαῦσαι.

Ἰουλιανὸς Ἰουδαίων τῷ κοινῷ, εἰ γνήσιος.

Πάνυ ὑμῖν φορτικώτερον γεγένηται ἐπὶ τῶν παρῳχηκότων καιρῶν τῶν ζυγῶν τῆς δουλείας, τὸ διαγραφαῖς ἀκηρύκτοις ὑποτάττεσθαι ὑμᾶς, καὶ χρυσίου πλῆθος ἄφατον εἰσκομίζειν τοῖς τοῦ ταμείου λόγοις· ὧν πολλὰ μὲν αὐτόψει ἐθεώρουν, πλείονα δὲ τούτων ἔμαθον εὑρὼν τὰ βρέβια τὰ καθ' ὑμῶν φυλαττόμενα· ἔτι δὲ καὶ μέλλουσαν πάλιν εἰσφορὰν καθ' ὑμῶν προστάττεσθαι, εἶρξα, καὶ τὸ τῆς τοιαύτης δυσφημίας ἀσέβημα ἐνταῦθα ἐβιασάμην στῆσαι, καὶ πυρὶ παρέδωκα τὰ βρέβια τὰ καθ' ὑμῶν ἐν τοῖς ἐμοῖς σκρινίοις ἀποκείμενα, ὡς μηκέτι δύνασθαι καθ' ὑμῶν τινὰ τοιαύτην ἀκοντίζειν ἀσεβείας φήμην. καὶ τούτων μὲν ὑμῖν οὐ τοσοῦτον αἴτιος κατέστη ὁ τῆς μνήμης ἄξιος Κωνστάντιος ὁ ἀδελφός, ὅσον οἱ τὴν γνώμην βάρβαροι, καὶ τὴν ψυχὴν ἄθεοι,

ἄθεοι, οἱ τὴν τούτου τράπεζαν ἐστιώμενοι· οὓς
μὲν ἐγὼ ἐν χερσὶν ἐμαῖς λαβόμενος, εἰς βό-
θρον ὤσας ὤλεσα, ὡς μήτε μνήμην ἔτι φέ-
ρεσθαι ἢ εἶναι παρ' ἡμῖν τῆς αὐτῶν ἀπωλείας.
ἐπὶ πλέον δὲ ὑμᾶς εὐωχεῖσθαι βουλόμε-
νος, τὸν ἀδελφὸν Ἴουλον τὸν αἰδεσιμώτατον πα-
τριάρχην παρῄνεσα, καὶ τὴν λεγομένην
παρ' ὑμῖν ἀποστολὴν κωλυθῆναι, καὶ μη-
κέτι δύνασθαι τὰ πλήθη ὑμῶν τινα ἀδικεῖν
τοιαύταις φόρων εἰσπράξεσιν, ὡς πανταχό-
θεν ὑμῖν ἀμέριμνον ὑπάρχειν τῆς ἐμῆς βασι-
λείας· ἵνα ἀπολαύοντες, ἔτι μείζονας εὐχὰς
ποιῆτε τῆς ἐμῆς βασιλείας τῷ πάντων κρείτ-
τονι καὶ δημιουργῷ θεῷ τῷ καταξιώσαντι στέ-
ψαι με τῇ ἀχράντῳ αὐτοῦ δεξιᾷ. πέφυκε γὰρ
τοὺς ἔν τινι μερίμνῃ ἐξεταζομένους περιδεεῖς
τὴν διάνοιαν, καὶ μὴ τοσοῦτον εἰς τὴν προ-
σευχὴν τὰς χεῖρας ἀνατείνειν τολμᾶν· τοὺς δὲ
πανταχόθεν ἔχοντας τὸ ἀμέριμνον, ὁλοκλήρῳ
ψυχῇ χαίροντας, ὑπὲρ τοῦ βασιλείου ἱκε-
τηρίους λατρείας ποιεῖσθαι τῷ μείζονι, τῷ δυ-
ναμένῳ κατευθῦναι τὴν βασιλείαν ἐπὶ τὰ
κάλλι-

impiis, qui ejus menſa utebantur: quos ego manibus meis arreptos, atque in foveam conjectos perdidi, ut ne memoria quidem ulla de eorum interitu apud nos ſuperſit. Ego veró cúm longé majoribus beneficiis vos ornare vellem, fratrem Iulum patriarcham omni obſervantia dignum hortatus ſum, ut & tributum quod vobis imperatum dicebatur, prohibeat, & nemini in poſterum liceat vectigalia ejuſmodi á vobis exigere, quo ſumma vobis ſecuritas & otium ſit in meo regno, & majore ſtudio pro meo regno vota faciatis Deo optimo & opifici, qui mihi dignatus eſt ſuis puriſſimis manibus coronam imponere. Solent nanque qui ſolicitudine aliqua premuntur, mente conſtringi, neque tam confidenter manus ad Deum orandum tollere: at qui cura penitus vacui ſunt, tota mente gaudent, & pro regno ſupplices manus ad Deum maximum porrigunt, in quo ſitum eſt, ut regnum noſtrum in optimo

optimo ſtatu verſetur, ſicut optamus. Id vos imprimis curare atque contendere debetis, quó & ipſe Perſico bello ex animi ſententia geſto, ſanctam urbem Hieruſalem, quam multos jam annos habitatam videre deſideratis, meis laboribus refectam incolam, & uná vobiſcum in ea Optimo Deo gratias agã.

Marcellinus lib.23.

JULIANI LEX DE medicis.

Artem medicam hominibus ſalutarem eſſe, uſus ipſe demõſtrat. Quare eam é cælo delapſam non immeritó philoſophi prædicant. Etenim naturæ noſtræ infirmitas, & valetudinis offenſiones quæ quotidie incidunt, per hanc corriguntur. Quamobrem ſicut æquitatis ratio poſtulat, nos ſuperiorum regum auctoritatem & vocem ſecuti, pro noſtra humanitate jubemus vos Senatoriis muneribus liberos in poſterum vivere.

EDICTUM

κάλλιστα, καθάπερ προαιρούμεθα. ὅπερ χρὴ ποιεῖν ὑμᾶς, ἵνα κἀγὼ τὸν τῶν Περσῶν πόλεμον διορθωσάμενος, τὴν ἐκ πολλῶν ἐτῶν ἐπιθυμουμένην παρ' ὑμῖν ἰδεῖν οἰκουμένην πόλιν ἁγίαν Ἱερουσαλὴμ ἐμοῖς καμάτοις ἀνοικοδομήσας οἰκίσω, καὶ ἐν αὐτῇ δόξαν δώσω μεθ' ὑμῶν τῷ κρείττονι.

Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν.

Τὴν ἰατρικὴν ἐπιστήμην σωτηριώδη τοῖς ἀνθρώποις τυγχάνειν, τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι. τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως, καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. καὶ γὰρ κατὰ τὸν τοῦ δικαίου λογισμὸν, συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζοντες, ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τοὺς λοιποὺς χρόνους διάγειν.

Ἀλεξαν-

*Ἀλεξανδρεῦσι διάταγμα.

Ἐχρῆν τὸν ἐξελαθέντα βασιλικοῖς πολλοῖς πάνυ καὶ πολλῶν αὐτοκρατόρων προστάγμασιν, ἓν γοῦν ἐπίταγμα περιμεῖναι βασιλικὸν, εἶθ᾽ οὕτως εἰς τὴν ἑαυτοῦ κατιέναι, ἀλλὰ μὴ τόλμῃ, μηδ᾽ ἀπονοίᾳ χρησάμενον, ὥσπερ οὐκ οὖσιν ἐνυβρίζειν τοῖς νόμοις. ἐπεί τοι καὶ τὸ νῦν ὑφ᾽ ἡμῶν τοῖς Γαλιλαίοις τοῖς φυγαδευθεῖσιν ὑπὸ τοῦ μακαρίτου Κωνσταντίου, οὐ κάθοδον εἰς τὰς ἐκκλησίας αὐτοῖς, ἀλλ᾽ εἰς τὰς πατρίδας συνεχωρήσαμεν. Ἀθανάσιον δὲ πυνθάνομαι τὸν τολμηρότατον ὑπὸ τῆς συνήθους ἐπαρθέντα θράσους, ἀντιλαβέσθαι τοῦ λεγομένου παρ᾽ αὐτοῖς ἐπισκοπῆς θρόνου. τοῦτο δὲ εἶναι καὶ τῷ θεοσεβεῖ τῶν Ἀλεξανδρέων δήμῳ οὐ μετρίως ἀηδές. ὅθεν αὐτῷ προαγορεύομεν ἀπιέναι τῆς πόλεως, ἐξ ἧς ἂν ἡμέρας τὰ τῆς ἡμετέρας ἡμερότητος γράμματα δέξηται παραχρῆμα· μένοντι δὲ αὐτῷ τῆς πόλεως εἴσω, μείζους πολὺ καὶ χαλεπωτέρας προαγορεύομεν τιμωρίας.

Ιουλια-

EDICTUM AD ALEXANDRINOS.

AEquum erat, eum qui regiis & imperatoriis edictis compluribus ejectus fuerat, unum ſaltem edictum regium expectare, ac tum denique domum ſuam redire: non autem ſingulari audacia atque amentia fretum, legibus tãquam omnino extinctis ac perditis illudere. Etenim nunc quoque nos Galilæis á Conſtantio ejectis, non reditum ad ſuas eccleſias, ſed in patriam cuique ſuam conceſſimus. Audio Athanaſium hominem audaciſſimum ſolita audacia elatum, epiſcopatus ſedem, ut ipſi appellant, iterum uſurpare: id veró non mediocriter Alexandrino populo diſplicere. Quare eum jubemus urbe excedere, eo ipſo die quo humanitatis noſtræ literas acceperit: quód ſi in urbe manſerit, longé majores gravioreſque ei pœnas denunciamus.

De exilio Athanaſii.

P JULI-

JULIANUS LIBANIO Sophiſtæ & quæſtori.

Hiſtoria de Juliani itinere in Perſas. Qua de re Marcell. 23.

Ad Litarbos veni (quod oppidum eſt in Chalcide) & caſu incidi in viam quandam, quæ reliquias adhuc Antiochenſium hybernorum habebat. Erat autẽ, ſicut opinor, illius pars una, palus, altera mons, tota certé aſpera: ad paludem erant lapides tãquam de induſtria diſjecti, nulla arte compoſiti, quomodo in cæteris urbibus viæ tanquam ædificari ſolent, loco pulveris multo limo ac lapidibus, ſicut in pariete, collocatis. Hoc itineris ſpatio confecto vix tandem ad primum diverſorium pervenimus (quod fuit hora feré nona) cúm ecce Senatus veſtri maxima pars ad nos venit. Ac ibi quæ ſimus inter nos collocuti, fortaſſe accepiſti: & ex nobis ipſis aliquãdo, ſi diis placuerit, cognoſces. Litarbis deinde ad Berræam veni: & Jupiter clariſſimo oſtẽto læta omnia denũciavit. Commoratus autem ibi diem unum, arcem inviſi, & Jovi regio more tau-

Ἰουλιανὸς Λιβανίῳ σοφιστῇ καὶ Κοιαίστωρι.

Μεχρὶ τῶν Λιτάρβων ἦλθον· ἔστι δὲ ἡ κώμη Χαλκίδος· καὶ ἐνέτυχον ὁδῷ λείψανα ἐχούσῃ χειμαδίων Ἀντιοχικῶν. ἦν δὲ αὐτῆς, οἶμαι, τὸ μὲν τέλμα, τὸ δὲ ὄρος, τραχεῖα δὲ πᾶσα· καὶ ἐνέκειντο τῷ τέλματι λίθοι ὥσπερ ἐπίτηδες ἐρριμμένοις ἐοικότες, ὑπ' οὐδεμιᾶς τέχνης συγκείμενοι, ὃν τρόπον εἰώθασιν ἐν ταῖς ἄλλαις πόλεσι τὰς λεωφόρους οἱ ἐξοικοδομοῦντες ποιεῖν, ἀντὶ μὲν τῆς κονίας πολὺν τὸν χοῦν ἐποικοδομοῦντες, πυκνοὺς δὲ ὥσπερ ἐν τοίχῳ τιθέντες τοὺς λίθους. ἐπεὶ δὲ διαβὰς μόλις ἦλθον εἰς τὸν πρῶτον σταθμόν· ἐννέα που σχεδὸν ἦσαν ὧραι· καὶ ἐδεξάμην εἴσω τῆς αὐλῆς τὸ πλεῖστον τῆς παρ' ἡμῖν βουλῆς. ἃ δὲ διελέχθημεν πρὸς ἀλλήλους, ἴσως ἐπύθου· μάθοις δ' ἂν καὶ ἡμῶν ἀκούσας, εἰ θεοὶ θέλοιεν. ἀπὸ τῶν Λιτάρβων εἰς τὴν Βέρροιαν ἐπορευόμην, καὶ ὁ Ζεὺς αἴσια πάντα ἐσήμηνεν, ἐναργῆ δείξας τὴν διοσημίαν. ἐπιμείνας δὲ ἡμέραν ἐκεῖ, τὴν ἀκρόπολιν εἶδον, καὶ ἔθυσα τῷ Διὶ βασι-

λικῶς ταῦερον λευκόν. διελέχθην δὲ ὀλίγα τῇ βουλῇ περὶ θεοσεβείας· ἀλλὰ τοὺς λόγους ἐπῄνουν μὲν ἅπαντες· ἐπείθοντο δὲ αὐτοῖς ὀλίγοι πάνυ. καὶ οὗτοι, οἳ καὶ πρὸ τῶν ἐμῶν λόγων ἐδόκουν ἔχειν ὑγιῶς· ἐλάβοντο δὲ ὥσπερ παρρησίας ἀποτρίψασθαι τὴν αἰδῶ καὶ ἀποθέσθαι. περίεστι γὰρ, ὦ θεοί, τοῖς ἀνθρώποις ἐπὶ μὲν τοῖς καλοῖς ἐρυθριᾶν, ἀνδρείᾳ ψυχῆς καὶ εὐσεβείᾳ, καλλωπίζεσθαι δὲ ὥσπερ τοῖς χειρίστοις, ἱεροσυλίᾳ καὶ μαλακίᾳ γνώμης καὶ σώματος. ἔνθεν ὑπεδέχοντό με Βάτναι, χωρίον οἷον οὐκ εἶδον παρ' ὑμῖν ἔξω τῆς Δάφνης, ἣ νῦν ἔοικε ταῖς Βάτναις. ὡς τά γε πρὸ μικροῦ, σωζομένου τοῦ νεὼ καὶ τοῦ ἀγάλματος, Ὄσσῃ καὶ Πηλίῳ καὶ ταῖς Ὀλύμπου κορυφαῖς, καὶ τοῖς Θετταλικοῖς Τέμπεσιν ἄγων ἐπίσης, ἢ καὶ προτιμῶν ἁπάντων ὁμοῦ τὴν Δάφνην οὐκ αἰσχυνοίμην. ἱερὸν Διὸς Ὀλυμπίου καὶ Ἀπόλλωνος Πυθίου τὸ χωρίον. ἀλλ' ἐπὶ μὲν τῇ Δάφνῃ γέγραπταί σοι λόγος, ὁποῖον ἄλλος οὐδὲ εἷς τῶν οἱ νῦν βροτοί εἰσι, καὶ μάλα ἐπιχειρήσας ἂν κάμνων, ἐργάσαιτο. νομίζω δὲ καὶ

τῶν

taurum candidum ſacrificavi. Cum Senatu autem pauca de religione diſſerui: & laudarunt quidem omnes orationem meam, pauci veró admodum aſſenſêre, atque iſti ipſi erant, quos ante meam orationem ſanos eſſe arbitrabar: poſtea tamen quaſi licentia arrepta omnem pudorem excuſſerunt ac depoſuerunt. Erubeſcunt enim homines vehementer (ó dii immortales!) in rebus honeſtis, ut fortitudine animi ac pietate: in turpiſſimis exultant, ut in ſacrilegio & corporis animique ignavia. Inde me Batnæ excipiunt, locus qualem nullum unquam vidi extra Daphnem, quæ nũc Batnis confertur, cúm anteá ſalvis templo & ſimulachro, non ſolúm Oſſæ, Pelio, Olympo, & Theſſalicis vallibus eam æquare, verúm etiam anteferre omnibus non vererer: ergo locus, quem dixi, Iovi Olympio & Pythio Apollini ſacer eſt. Sed de Daphne ſcripta eſt á te oratio, qualem nemo alius eorum qui nunc vivunt, hominum, quanvis maximé contenderet, poſſit perficere: ve-

terum autem non multos perfecturos fuiſſe exiſtimo. Quid igitur ego de ea nunc ſcribam, cúm tua tam luculenta extet oratio? Abſit ut quicquam tale cogitem. Igitur Batnæ (nomen eſt iſtud barbarum, & caſeolum Græcé ſignificat) primúm quód thuris odor ex omni parte regionis circunſpirabat, & victimas in omnibus locis apparatas cernebamus: id, inquam, etſi multum mihi voluptatis afferebat, tamen calidius videbatur, & á religione alienum. Etenim procul á tumultu & ſtrepitu ſacra fieri debent, neque aliud quippiam quærendum, niſi ut victimæ & ſacra diis apportentur. Verúm iſtud fortaſſe brevi corrigetur. Batnas veró videbam eſſe agrum ſylvoſum, nemoribus tenerarum cupreſſorum ornatum. Et in his nulla erat arbor annoſa, nulla putris, ſed omnes pariter coma florebant. Regia domus non erat ſumptuoſa: é luto enim & lignis tantum erat, nullã ornatus varietatẽ habebat. Hortus illo Alcinoï pauperior,

Vide proverb. Calidũ plus ſatis: & Suid. in voce θερμόν.

τὴν ἔμπροσθεν οὐ πολλοὺς πάνυ. Τί οὖν ἐγὼ νῦν ἐπιχειρῶ περὶ αὐτῶν γράφειν, οὕτω λαμπρᾶς ἐπ' αὐτῇ συγγεγραμμένης; ὡς μήποτε ὤφελε τοῦτον. ἄγε μὴν Βάτναι· βαρβαρικὸν ὄνομα τοῦτο, χωρίον ἐστὶν ἑλληνικόν· πρῶτον μὲν ὅτι διὰ πάσης τῆς πέριξ χώρας ἀτμοὶ λιβανωτοῦ πανταχόθεν ἦσαν, ἱερεῖά τε ἐβλέπομεν εὐπρεπῆ πανταχοῦ. τοῦτο μὲν οὖν εἰ καὶ λίαν εὔφρανέ με, θερμότερον ὅμως ἔδοξε, καὶ τῆς εἰς τοὺς θεοὺς εὐσεβείας ἀλλότριον. ἐκτὸς πάτου γὰρ εἶναι χρὴ, καὶ δρᾶσθαι καθ' ἡσυχίαν, ἐπ' αὐτὸ τοῦτο πορευομένων, οὐκ ἐπ' ἄλλο τι βαδιζόντων τὰ πρὸς τοὺς θεοὺς ἱερεῖά τε καὶ ὅσια. τοῦτο μὲν οὖν ἴσως τεύξεται τῆς ἁρμοζούσης ἐπιμελείας αὐτίκα. τὰς Βάτνας δὲ ἑώρων πεδίον λάσιον, ἄλση κυπαρίττων ἔχον νέων. ἦν ἐν ταύταις οὐδὲν γεράνδρυον οὐδὲ σαπρὸν, ἀλλὰ ἐξ ἴσης ἅπαντα θάλλοντα τῇ κόμῃ. καὶ τὰ βασίλεια πολυτελῆ μὲν ἥκιστα. πηλοῦ γὰρ ἦν μόνον καὶ ξύλων, οὐδὲν ποικίλον ἔχοντα. κῆπον δὲ τοῦ μὲν Ἀλκινόου χαριέστερον, παραπλήσιον δὲ τῷ

Λαέρτου· καὶ ἐν αὐτῷ μικρὸν ἄλσος πάνυ, κυ-
παρίττων μεστόν. καὶ τῷ τοίχῳ δὲ πολλὰ τοι-
αῦτα παραπεφυτευμένα δένδρα στίχῳ, καὶ
ἐφεξῆς. εἶτα τὸ μέσον πρασιαὶ, καὶ ἐν ταύ-
ταις λάχανα, καὶ δένδρα παντοῖαν ὀπώραν
φέροντα. τί οὖν ἐνταῦθα; ἔθυσα δείλης, εἶ-
τα ὄρθρου βαθέος, ὅπερ εἴωθα ποιεῖν ἐπιεικῶς
ἑκάστης ἡμέρας. ἐπεὶ δὲ ἦν καλὰ τὰ ἱερὰ,
τῆς πόλεως εἰχόμεθα, καὶ ὑπαντῶσιν ἡμῖν οἱ
πολῖται· καὶ ὑποδέχεταί με ξένος, ὀφθεὶς
μὲν ἄρτι, φιλούμενος δὲ ὑπ' ἐμοῦ πάλαι.
τὴν δὲ αἰτίαν, αὐτὸς μὲν οἶδα ὅτι συνειδεῖς,
ἐμοὶ δὲ ἡδὺ καὶ ἄλλως φράσαι. τὸ γὰρ ἀεὶ περὶ
αὐτῶν ἀκούειν καὶ λέγειν, ἐστί μοι νέκταρ. Ιαμ-
βλίχου τοῦ θειοτάτου τὸ θρέμμα Σώπατρος,
τούτου κηδεστὴς ἐξ ὅσου. ἐμοὶ γὰρ τὸ μὴ πάντα
ἐκείνων τῶν ἀνδρῶν ἀγαπᾶν, ἀδικημάτων
οὐδὲν οὕτω φαυλότατον εἶναι δοκεῖ. πρόσεστι
ταύτης αἰτία μείζων. ὑποδεξάμενος γὰρ
πολλάκις τόν τε ἀνέψιον τὸν ἐμὸν, καὶ τὸν ὁμο-
πάτριον ἀδελφὸν, καὶ προτραπεὶς ὑπ' αὐ-
τῶν, οἷα εἰκὸς, πολλάκις ἀποστῆναι τῆς εἰς θεοὺς

εὐσε-

perior,ſimilis Laërtio: nemus erat in eo perexiguum, cupreſſis refertum: juxta murum plurimæ arbores ordine ac deinceps inſitæ: in medio areæ, & in his olera, atque arbores, quæ omnis generis fructus afferrent. Quid tum illic? ſacrificavi veſperi, & poſtridie ſummo mane, quod ſtudioſé ſingulis diebus facere conſuevi: cumque læta ac præclara eſſent ſacra, ad urbem contendimus: ibi nobis á civibus itum eſt obviam, & nos domum ſuam excepit amicus quidam, quem tum primúm feré videramus, ſed multo anté tempore amabamus. Cauſſam quidem notam tibi eſſe ſuſpicor,tamen non eſt mihi moleſtum explicare: nectar enim mihi eſt, de illis ſemper & audire & dicere: Iamblichi diviniſſimi alumnus fuit Sopater, hujus affinis cúm vixit.Mihi enim res illorum virorum omnes non amare, ſcelus omnium maximum videtur. Sed eſt alia quoque major cauſſa. Hic cúm perſæpé patruelem meum & fratrem germanū hoſpitio accepiſſet, & ab iis magnopere, ut par fuit, ſolicitaretur, ut á diis deficé-

deficeret, nunquam tamen (quod grave & magnum eſt) in eum morbum lapſus eſt. Hæc habui quæ ex Hierapoli ad te de rebus meis ſcriberem. Quod ad bellicas & civiles res attinet, ipſe tu præſens de iis debes cognoſcere: major enim res eſt, quám ut epiſtola comprehendi poſſit, imó ne tribus quidem epiſtolis, ſi accuraté perſcribatur. Veruntamen narrabo tibi, idque breviter. Legatos miſi ad Saracenos, & ut veniant, ſi velint, commonefacio. Hoc primum caput eſt. Alterum, exploratores miſi, quoad licuit, vigilantiſſimos, ne quis hinc tacitus ad eos veniat, certioreſque faciat nos commoveri. Inde controverſiam militarem, ut mihi perſuadeo, ſumma lenitate æquitateque diſceptavi: equos eximios & mulos comparavi, copias in unum coëgi: naves fluviatiles implentur frumento, vel potius pane cocto atque aceto: quorum unumquodque quomodo geſtũ fuerit, qui ſermones

εὐσεβείας, ὃ χαλεπόν ἐστιν, οὐκ ἐλήφθη τῇ νόσῳ. ταῦτα εἶχον ἀπὸ τῆς Ἱερᾶς πόλεώς σοι γράφειν, οὐ παρὰ τὴν ἐμαυτοῦ. τὰς δὲ στρατιωτικὰς ἢ πολιτικὰς οἰκονομίας, αὐτὸν ἐχρῆν, οἶμαι, παρόντα ἐφορᾶν καὶ ἐπιμελεῖσθαι. μεῖζον γάρ ἐστιν ἢ κατ' ἐπιστολὴν, εὖ ἴσθι, καὶ τοσοῦτον ὅσον οὐ ῥᾴδιον οὐδὲ τριπλάσια τούτου περιλαβεῖν, σκοποῦντι τ' ἀκριβές. ἐπεὶ καὶ φαίην δέ σοι, καὶ ταῦτα φράσω δι' ὀλίγων. πρὸς τοὺς Σαρακηνοὺς ἔπεμψα πρέσβεις ὑπομιμνήσκων αὐτοὺς ἥκειν εἰ βούλοιντο. ἓν μὲν δὴ τοιοῦτο. ἕτερον δὲ, λίαν ἐγρηγορότας, ὡς ἐνεδέχετο, τοὺς παραφυλάξοντας ἐξέπεμψα, μή τις ἐνθένδε πρὸς τοὺς πολεμίους ἐξέλθῃ λαθὼν, ἐσόμενος αὐτοῖς ὡς κεκινήμεθα μηνυτής. ἐκεῖθεν ἐδίκασα δίκην στρατιωτικὴν ὡς ἐμαυτὸν πείθω, πρᾳότατα καὶ δικαιότατα. ἵππους περιττοὺς καὶ ἡμιόνους παρεσκεύασα, τὸ στρατόπεδον εἰς ταυτὸ συναγαγών. ναῦς πληροῦνται ποταμίαι πυροῦ, μᾶλλον δὲ ἄρτων ξηρῶν καὶ ὄξους. καὶ τούτων ἕκαστον ὅπως ἐπράχθη, καὶ τίνες ἐφ' ἑκάστῳ γεγόνα-

γεγόνασι λόγοι, πόσου μήκους ἐστὶ συγγραφὴ, ἐννοεῖς· ἐπιστολαῖς δὲ ὅσαις ὑπέγραψα καὶ βίβλοις ἑπόμενα ὥσπερ αἴσιά μοι καὶ ταῦτα συμπαρεινοστεῖ πολλαχοῦ. τί δεῖ νῦν πράγματα ἔχειν ἀπαριθμούμενον;

Ἰουλιανὸς Γρηγορείῳ ἡγεμόνι.

Ἐμοὶ καὶ γράμμα παρά σου μικρὸν, ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνηστεῦσαι. καὶ τοίνυν οἷς ἔγραψας λίαν ἡσθεὶς, ἀντιδίδωμί καὶ αὐτὸς τὴν ἴσην, οὐ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον, ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκλείνεσθαι δεῖν κρίνων.

Ἰουλιανὸς Ἀλυπίῳ ἀδελφῷ Καισαρίου.

Ὁ Συλοσῶν αἰτῆλθε, φησὶ, παρὰ τοῦ Δαρείου, καὶ ὑπέμνησεν αὐτὸν τῆς χλανίδος, καὶ ᾔτησεν ἀντ' ἐκείνης παρ' αὐτοῦ τὴν Σάμον· εἶτα ἐπὶ τούτῳ Δαρεῖος μὲν ἐμεγαλοφρονεῖτο, μεγάλα ἀντὶ μικρῶν νομίζων ἀποδεδωκέναι· Συλοσῶν δὲ λυπηρὰν ἐλάμβανε χάριν. σκόπει δὴ τὰ ἡμέτερα νῦν πρὸς ἐκεῖνα. ἓν μὲν δὴ τὸ πρῶτον οἶμαι κρεῖσσον ἔρ-

mones habiti ſint, exponere, quám longæ ſit epiſtolæ, non ignoras. Quám veró multis & literis & libris mandarim ea quæ mihi, tanquam læta auſpicia eveniunt (circunferuntur autem nobiſcum) quid opus eſt faſtidioſé ac moleſté recẽſere?

JULIANUS GREGORIO
Duci.

Mihi ſané vel exigua abs te epiſtola ſufficit ad magnæ voluptatis occaſionem capiendum. Ego veró iis quæ ſcripſiſti, plurimum lætatus, parem gratiam refero, neque tam epiſtolæ prolixitate, quám benevolentiæ magnitudine amicorum charitatem amplificandã eſſe judico.

JULIANUS ALYPIO
Cæſarii fratri.

Syloſon (ait ille) ad Darium venit, ac pallium ei commemoravit, & petiit pro eo Samum: poſtea Darius magnopere ſibi placebat, putans ſe magna pro parvis retuliſſe: Syloſon tamẽ triſte beneficiũ accepit. Confer nũc noſtra cum illis. Primúm quidẽ una in re nos multó melius:

Hæc hiſtoria de Syloſonte eſt apud Herodotum lib. 3. Alypius autem ſit fortaſſe is de quo Marcell. 23.

melius : quandoquidem non expectavimus, dum ab altero admoneremur: ſed in tanto tempore amicitiam erga te perpetuam ſanctamque ſervavimus, deinde cúm primum nobis oblata eſt á Deo facultas, non inter ſecundos, ſed inter primos te amicos appellavi. Ergo hoc primum. De futuris autem dáſne mihi ut augurer? (ſum enim augur) longé melius expecto, módó ſit propitia Adraſtia. Neque enim tibi opus eſt rege, qui te in evertenda urbe aliqua ſuis viribus juvet: & mihi multis ſané opus eſt, qui me adjuvent ad ea reſtituenda, quæ malé cecidêre. Hæc tecum Muſa Gallica & barbara jocatur. Tu veró intereá diis ducibus venies: ad manum tibi erit præda hædorũ, & ovium, quæ in hybernis venatio eſt: veni ad amicum, qui te, antequam noſſem quantum poſſes, tamen ſalutavi.

JULIANUS EIDEM.

Commendat Alypii munus, & diligẽtiam in adminiſtranda Republica.

Iam eram morbo liberatus, cúm Geographiam miſiſti, nõ tamen premptereá minus

γον ἡμέτερον· οὐ γὰρ ὑπεμείναμεν ἀπομνησθῆναι παρ' ἀλλήλους. τοσούτῳ δὲ χρόνῳ τὴν μνήμην τῆς σῆς φιλίας διαφυλάξαντες ἀκέραιον, ἐπειδὴ πρῶτον ἡμῖν ἔδωκεν ὁ θεὸς, οὐκ ἐν δευτέροις, ἀλλ' ἐν τοῖς πρώτοις σε μετεκάλεσα. τὰ μὲν οὖν πρῶτα τοιαῦτα. περὶ δὲ τῶν μελλόντων ἆρά μοι δώσεις τί· καὶ γάρ εἰμι μαντικὸς προαγορεῦσαι; μακρῷ νομίζω κρεῖττον ἐκείνων. ἀδραστεία δ' εὐμενὴς εἴη. οὔτε γὰρ οὐδὲν δέῃ συγκαταστρεφομένου τὴν πόλιν βασιλέως. ἐγώ τε πολλῶν δέομαι τῶν συνεπανορθούντων μοι τὰ πεπτωκότα κακῶς. ταῦτά σοι γαλλικὴ καὶ βάρβαρος μοῦσα προσπαίζει. σὺ δὲ ὑπὸ τῇ τῶν θεῶν πομπῇ χαίρων ἀφίκοιο. καὶ τῇ αὐτοῦ χειρὶ ληῒς ἐρίφων, καὶ τὸ ἐν τοῖς χλαμυδίοις θήρας τῶν προβατείων· ἧκε πρὸς τὸν φίλον, ὅς σε τότε καίπερ οὔπω γινώσκων ὅσον εἶ δυνάμενος, ὅμως περιεῖπον.

Ἰουλιανὸς τῷ αὐτῷ.

Ἤδη μὲν ἐτύγχανον ἀνειμένος τῆς νόσου, τὴν γεωγραφίαν ὅτε ἀπέστειλας. οὐ μὴν ἔλατ-

τον

τὸν διὰ τούτου ἡδέως ἐδεξάμην τὸ παρὰ σοῦ πινάκιον ἀποσταλέν. ἔχει γὰρ καὶ τὰ διαγράμματα τῶν πρόσθεν βέλτιον, καὶ κατεμούσωσας αὐτὸ προσθεὶς τοῖς ἰάμβοις, οὐ μάχην ἀείδοντας τὸν Βουπάλιον κατὰ τὸν Κυρηναῖον ποιητὴν, ἀλλ' οἵους ἡ καλὴ Σαπφὼ βούλεται τοῖς ὕμνοις ἁρμόττειν. καὶ τὸ μὲν δῶρον τοιοῦτόν ἐστιν, ὁποῖον ἴσως σοί τε ἔπρεπε δοῦναι, ἐμοί τε ἥδιστον δέξασθαι. περὶ δὲ τὴν διοίκησιν τῶν πραγμάτων, ὅτι δραστηρίως ἅμα καὶ πράως ἅπαντα περαίνειν προθυμῇ, συνηδόμεθα. μίξαι γὰρ πραότητα καὶ σωφροσύνην ἀνδρείᾳ καὶ ῥώμῃ, καὶ τῇ μὲν χρῆσθαι πρὸς τοὺς ἐπιεικεστάτους, τῇ δὲ ἐπὶ τῶν πονηρῶν ἀπαραιτήτως πρὸς ἐπανόρθωσιν, οὐ μικρᾶς ἐστι φύσεως, οὐδ' ἀρετῆς ἔργον, ὡς ἐμαυτὸν πείθω. τούτων εὐχόμεθά σε τῶν σκοπῶν ἐχόμενον, ἄμφω πρὸς ἓν τὸ καλὸν αὐτοῖς συναρμόσαι. τοῦτο γὰρ ἁπάσαις προκεῖσθαι ταῖς ἀρεταῖς τέλος, οὐκ εἰκῆ τῶν παλαιῶν ἐπίστευον οἱ λογιώτατοι. ἐρρωμένος καὶ εὐδαιμονῶν διατελοίης ἐπὶ μήκιστον ἀδελ-

φὲ

minus grata mihi fuit tabella abs te miſſa: ſunt enim in ea tum deſcriptiones prioribus meliores, tum jambi quibus eam exornaſti, non illi quidem bellum ſonantes βουπάλιον, id eſt, magnæ luctæ, ut ait poëta Cyrenæus, ſed quales pulchra Sappho ſolet hymnis ſuis intexere. Denique munus tuum eſt ejuſmodi, ut & te fortaſſe ſit dignum, & mihi ſané quám gratiſſimum. De Reip. autem adminiſtratione, quód diligenter atque humaniter tranſigere omnia ſtudes, gratum eſt. Etenim lenitatem ac moderationem cum fortitudine & robore ita temperare, ut illa erga bonos viros utare, hanc ad pravos ſeveré corrigendos adhibeas, non mediocris ingenii ac virtutis rem eſſe arbitror. Hos fines tibi propoſitos eſſe & ad honeſtatem unicam referri cupio. Extremum ſiquidem virtutum omnium iſtud eſſe, non ſine cauſſa veterũ ſapientiſſimi crediderunt. Vale, & quám lõgiſſimé beatus vive, frater

ſuaviſſime & chariſſime.

JULIANUS AETIO
Epiſcopo.

Aëtius Epiſcopus Eunomianæ hæreſeos princeps fuit, ideoque á Conſtantio ejectus, á Juliano revocatur. Sozome. lib.5. cap.5.

Cæteris omnibus, qui á Conſtãtio vita defuncto ejecti patria fuerãt propter amentiam Galilæorum, exiliũ condonavi: te autem non ſolúm ea pœna libero, verumetiam memor priſtinæ cognitionis atque amicitiæ noſtræ, hortor ut ad nos venias. Vtêris autem jumento publico uſque ad noſtram cohortem, & uno prætereá comite.

JULIANUS LUCIANO
Sophiſtæ.

SCRIBO, & literas viciſſim expecto. Quód ſi tam crebris literis tibi injuriam facio, tu mihi viciſsim parem injuriam reponito.

JULIANUS DOSITHEO.

Vix potui lachrymas cõtinere: & meritó, cúm apud nos tuum nomẽ appellari audiviſſem. Commovebat enim mihi memoriam nobilis illius, & omnibus modis admirãdi patris noſtri: quem ſi imitari voles, & ipſe felix eris, & vitam tuã, ſicut ille, amabilẽ efficies: ſin ignavus fueris, tum mihi dolorẽ afferes, tum

te

φὲ ποθεινότατε καὶ φιλικώτατε.

Ἰουλιανὸς Αἐτίῳ ἐπισκόπῳ.

Λοιποῖς μὲν ἅπασι τοῖς ὁπωσοῦν ὑπὸ τοῦ μακαρίτου Κωνσταντίου πεφυγαδευμένοις ἕνεκεν τῆς τῶν Γαλιλαίων ἀπονοίας, ἀνῆκα τὴν φυγήν· σὲ δὲ οὐκ ἀνίημι μόνον, ἀλλὰ γὰρ καὶ παλαιᾶς γνώσεώς τε καὶ συνηθείας μεμνημένος, ἀφικέσθαι προτρέπω μέχρις ἡμῶν. χρήσῃ δὲ ὀχήματι δημοσίῳ μέχρι τοῦ στρατοπέδου τοῦ ἐμοῦ, καὶ ἑνὶ παρίππῳ.

Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ.

Γράφω, καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων. εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

Ἰουλιανὸς Δοσιθέῳ.

Μικροῦ μοι ἐπῆλθε δακρῦσαι· καί τοιγε ἐχρῆν ἐφ' ἡμῖν τοὔνομα τὸ σὸν φθεγγόμενον. ἀνεμνήσθην γὰρ τοῦ γενναίου καὶ πάντα θαυμασίου πατρὸς ἡμῶν· ὃν εἰ μὲν ζηλώσεις, καὶ αὐτός τε εὐδαίμων ἔσῃ, καὶ τῷ βίῳ δώσεις, ὥσπερ ἐκεῖνος, ἐφ' ὅτῳ φιλοτιμήσηται. ῥαθυμήσας δὲ, λυπήσεις ἐμὲ, σαυτῷ δὲ ὅτι μη-

δὲν ὄφελος, μέμψῃ.

Ἰουλιανὸς Ἰαμβλίχῳ φιλοσόφῳ.

Ὀδυσσεὺς μὲν ἐξήρκει τοῦ παιδὸς τὴν ἐφ' αὑτῷ φαντασίαν ἀναστέλλοντι, λέγειν,

οδυσ. π. Οὔτοι τις θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐΐσκεις; ἐγὼ δὲ οὐδ' ἂν ἄνθρωπον εἶναι φαίην ἄν, ὡς ὁ λόγος, ἕως ἂν Ἰαμβλίχῳ μὴ συνῶ· ἀλλ' ἐραστὴς μὲν εἶναι ὁμολογῶ, καθάπερ ἐκεῖνος τοῦ Τηλεμάχου πατήρ. κἂν γὰρ ἀνάξιόν με λέγῃ τις, οὐδὲ οὕτω τοῦ πόθου ἀφαιρήσεται. ἐπεὶ καὶ ἀγαλμάτων καλῶν ἀκούω πολλοὺς ἐραστὰς γενέσθαι, μὴ μόνον τοῦ δημιουργοῦ τὴν τέχνην μὴ βλάπτοντας, ἀλλὰ καὶ περὶ αὐτὰ πάθει τὸ ἔμψυχον ἡδονὴν τῷ ἔργῳ προσθέντας. τῶν γε μὴν παλαιῶν καὶ σοφῶν ἀνδρῶν οἷς ἡμᾶς ἐγκρίνειν ἐθέλεις παίζων, τοσοῦτον ἀπέχειν φαίην, ὁπόσον αὐτῷ φοιτώντων ἀριθμῷ μετεῖναι πιστεύω. καίτοι σύγε οὐ Πίνδαρον μόνον, οὐδὲ Δημόκριτον, ἢ Ὀρφέα τὸν παλαιότατον, ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ ἑλληνικὸν, ὁπόσον εἰς ἄκρον φιλοσοφίας ἐλθεῖν μνημονεύεται, καθάπερ ἐν λύραις ποικίλων

φθόγγων

te tibi detrimento fuiſſe in perpetuum dolebis.

JULIANUS IAMBLICHO philoſopho.

Vlyſsi ſatis fuit ad filii de ipſo opinionem coërcendum dicere, *Laudat Iamblichum philoſophum.*

Non ſum de ſuperis: quid me immortalibus æquas?

At ego ne hominem quidẽ eſſe me dicere auſim,ut eſt in proverbio, quandiu abſum ab Iamblicho: veruntamen ejus ſtudioſum cupidumque eſſe me concedam,ſicut ille pater Telemachi. Quanvis enim indignum me aliquis fortaſſe dixerit, attamen nõ propterea me á tui amore abſtrahet. Nam & multos egregiarum ſtatuarũ amatores fuiſſe audio, qui nõ ſolúm artificis laudi nihil obfuerint, verúm etiam ſuo erga illas amore, veram vivamque voluptatẽ operi addiderint. Quód autẽ me veteribus illis ſapientibus ludens aſcribis,tantum me ab iis abeſſe ſentio, quãtum de eorũ grege ac diſciplina me eſſe profiteor. Tu veró non ſolúm Pindarũ, aut Democritum, aut Orpheum illũ antiquiſsimũ,ſed omnes omnino Græciæ philoſophos,qui in *Vide proverb. Nec Deus, nec homo.*

eo genere floruiſſe memorantur, tanquam in lyræ variis é ſonis concentu ad perfectam muſicam conjunxiſti: atque ut Argum illũ, qui Io delicias Jovis cuſtodiebat, pervigilibus oculis undique poëtæ obſepiunt: ſic te virtutis verum & germanum cuſtodem puris doctrinæ luminibus illuſtrat eloquentia. Ajunt Proteum illum Ægyptium ſe in varias formas commutaſſe, quaſi veritum ne imprudens hominibus requirẽtibus ſapientem ſe eſſe demonſtraret. Ego veró ſi quidem ſapiens fuit reipſa Proteus, & is qui multas res cognoſceret (ſicut vult Homerus) de ſcientia eum laudo, de ingenio non laudo: non enim viri boni & liberalis, ſed impoſtoris improbi officio fungebatur, cúm eó ſe occultaret, ne hominibus prodeſſet. At te, vir clariſsime, quis non jure admiretur, tum quód Proteo ſapientiæ laude non cedis, tum multó magis quód virtutem, ſummamque rerum optimarum ſcientiam nemini invides, ſed inſtar nitidi Solis tuos illuſtres radios in omnes emittis,
non

φθόγγων ἐναρμονίῳ συστάσει, πρὸς δ' ἐντελὲς τῆς μουσικῆς κεράσας ἔχεις· καὶ ὥσπερ Ἄργον τὸν φύλακα τῆς Ἰοῦς οἱ μῦθοι πρόνοιαν ἔχοντα τῶν Διὸς παιδικῶν, ἀκοιμήτοις πάντοθεν ὀφθαλμῶν βολαῖς περιφεράττουσιν· οὕτω καί σε γνήσιον ἀρετῆς φύλακα καθαρεῖς παιδεύσεως ὀφθαλμοῖς ὁ λόγος φωτίζει. Πρωτέα μὲν δὴ τὸν Αἰγύπτιόν φασι ποικίλαις μορφαῖς ἑαυτὸν ἐξαλλάττειν, ὥσπερ δεδιότα μὴ λάθῃ τοῖς δεομένοις, ὡς ἦν σοφὸς, ἐκφήνας. ἐγὼ δ' εἴπερ ἦν ὄντως σοφὸς Πρωτεὺς, καὶ οἷος πολλὰ τῶν ὄντων γινώσκειν, ὡς Ὅμηρος λέγει, τῆς μὲν ὧν ἤδει φύσεως αὐτὸν ἐπαινῶ, τῆς γνώμης δὲ οὐκ ἄγαμαι, διότι μὴ φιλανθρώπου τινὸς, ἀλλὰ ἀπατεῶνος ἔργον ἐποίει κρύπτων ἑαυτὸν, ἵνα μὴ χρήσιμος ἀνθρώποις ᾖ. σὲ δὲ, ὦ γύναι, τίς οὐκ ἂν ἀληθῶς θαυμάσειεν, ὡς οὐδὲν τι τοῦ Πρωτέως τοῦ σοφοῦ μείων εἶ, καὶ μὴ μᾶλλον ὡς ἀρετὴν, ἄκραν τε κορυφὴν ὧν ἔχεις καλῶν, οὐ φθονεῖς ἀνθρώποις· ἀλλ' ὥσπερ ἡλίου καθαροῦ δίκην, ἀκτῖνάς σου ἀκραιφνεῖς ἐπὶ πάντας ἄγεις,

οὐ μόνον τοῖς παροῦσι τὰ εἰκότα ξυνὼν· ἀλλὰ καὶ ἀπόντας, ἐφ᾽ ὅσον ἔξεστι, τοῖς παρὰ σαυτοῦ σεμνύνων. νικᾷς δὴ ἂν οὕτω καὶ τὸν Ὀρφέα τὸν καλὸν, οἷς πράττεις· εἴγε ὁ μὲν τὴν οἰκείαν μουσικὴν εἰς τὰς τῶν θηρείων ἀγωγὰς κατανάλισκε· σὺ δὲ ὥσπερ ἐπὶ σωτηρίᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους ταχθεὶς, Ἀσκληπίου χεῖρα πανταχοῦ ζηλῶν, ἅπαντα ἐπέρχῃ λογίῳ τε καὶ σωτηρίῳ πνεύματι. ὥστε μοί γε δοκεῖ καὶ Ὅμηρος εἰ ἀνεβίου, πολλῷ δικαιότερον δύναιτο ἐπί σοι ἐκεῖνο τὸ ἔπος αἰνίξασθαι, τὸ,

Εἷς δή ἔτι που ζωὸς κατερύκεται εὐρέϊ κόσμῳ.

τὸ γὰρ πῦρ τοῦ παλαιοῦ κόμματος ἡμῖν οἱονεὶ σπινθήρ τις ἱερὸς ἀληθοῦς καὶ γονίμου παιδεύσεως ὑπό σοι μόνῳ ζωπυρεῖται. καὶ εἴη γε Ζεῦ σῶτερ, καὶ Ἑρμῆ ἄγιε, ὃ κοινὸν ἁπάσης τῆς οἰκουμένης ὄφελος, Ἰάμβλιχον τὸν καλὸν ἐπὶ μήκιστον χρόνον τηρεῖσθαι. πάντως που καὶ ἐφ᾽ Ὁμήρῳ καὶ Πλάτωνι καὶ Σωκράτει, καὶ εἴ τις ἄλλος ἄξιος τοῦ χοροῦ τούτου, δικαίας εὐ-

χῆς

non modó præſentes docendo, ſed etiam abſentes, quoad licet, ſcriptis tuis ornando. In quo ſané Orpheum illum nobilem ſuperas. Ille ſiquidem muſicam ſuam in beluis demulcendis conſumebat: tu tanquam ad ſalutem humani generis in hoc mundo collocatus, omnibus locis Aeſculapii manum imitaris, voceque iſta facunda & ſalutari omnes orbis partes perluſtras. Quocirca mihi videtut Homerus, ſi reviviſceret, muló juſtiús illud de te uſurpare poſſe:

Vnus adhuc vivus lato verſatur in orbe. *Locus eſt apud Homer. Odyſſ. δ.*

Nã ignis ille antiquæ formæ nobis tanquam ſcintilla quædam ſacra veræ atque uberis doctrinæ á te uno fovetur atque alitur. Atque utinam (ó Servator Iupiter, & ſancte Mercuri) contingat Iamblichum optimum, id eſt, commune orbis terrarum commodum, longiſſima vita frui. Certé cúm veteres pro Homero, Platone, Socrate, & ſi quis alius in orbem hunc incidit, juſta vota felici-

feliciter atque ex animi ſententia fecerint, vitamque illorum hoc modo produxerint: non erit incommodum, hominem noſtra ætate viris illis & vita & oratione parem, ſimilibus votis ad ſummam ſenectutem cum omnium felicitate tranſmittere.

EPISTOLA SINE TITULO pro Argivis.

Corinthii Argivos ſibi vectigales fecerant: eos liberari vult Julianus hac epiſtola.

Multa ſunt, quæ de Argivorum civitate dici poſſunt, ſi quis velit eorũ res veteres & novas prædicare. Nam rerum ad Trojam geſtarum gloria, ſicut Athenienſibus & Lacedæmoniis poſteá ſic illis maxima ex parte tribuenda eſt. Etſi enim ambo illa communiter ab univerſa Græcia geſta ſunt, attamen ut laborum & moleſtiarũ, ſic laudum præcipua pars eſſe debet imperatorum. Verúm iſta ſunt vetera. Deinceps veró Heraclidarum reverſio, honos ereptus natu maximo, inde in Macedoniam colonia, & á Lacedæmoniis vicinis liberæ civitatis perpetua defenſio cõſervatioque non

χῆς ἐπίτευγμα τοῖς πρότερον εὐτυχηθὲν, οὕτω τοὺς ἐκείνων καιροὺς ἐπὶ μεῖζον ηὔξησεν. οὐδὲν δὴ κωλύει καὶ ἐφ' ἡμῶν ἄνδρα καὶ λόγῳ καὶ βίῳ τῶν ἀνδρῶν ἐκείνων ἀντάξιον, ὑφ' ὁμοίαις εὐχαῖς ἐς τὸ ἀκρότατον βίου γῆρας ἐπ' εὐδαιμονίᾳ τῶν ὅλων παραπέμπειν.

Ανεπίγραφος ὑπὲρ Αργείων.

Υπὲρ τῆς Αργείων πόλεως πολλὰ μὲν ἄν τις εἰπεῖν ἔχοι, σεμνύνειν αὐτῆς ἐθέλων παλαιὰ καὶ νέα πράγματα. τοῦ τε γὰρ Τρωϊκοῦ καθάπερ ὕστερον Αθηναίοις καὶ Λακεδαιμονίοις, οὕτω προσήκει τὸ πλέον ἐκείνοις ἔργου. δοκεῖ μὲν γὰρ ἄμφω κοινῇ πραχθῆναι ὑπὲρ τῆς ἑλλάδος. ἄξιον δὲ ὥσπερ τῶν ἔργων καὶ τῆς φροντίδος, οὕτως καὶ τῶν ἐπαίνων τοὺς ἡγεμόνας τὸ πλέον μετέχειν. ἀλλὰ ταῦτα μὲν ἀρχαῖά πως εἶναι δοκεῖ· τὰ δὲ ἐπὶ τούτοις, ἡ ἡρακλειδῶν κάθοδος, καὶ ὡς τῷ πρεσβυτάτῳ γέρας ἐξῃρέθη, ἥ τε εἰς μακεδονίαν ἐκεῖθεν ἀποικία, καὶ τὸ Λακεδαιμονίοις οὕτω πλησίον παροικοῦντας, ἀδούλωτον ἀεὶ καὶ ἐλεύθερον φυλάξαι τὴν πόλιν, οὐ μικρᾶς οὐδὲ

τῆς

τῆς τυχούσης ἀνδρείας ἦν. ἀλλὰ δὴ καὶ τὰ τοιαῦτα περὶ τοὺς Πέρσας ὑπὸ τῶν Μακεδόνων γενόμενα, ταύτῃ προσήκειν τῇ πόλει δικαίως ἄν τις ὑπολάβοι. Φιλίππου τε γὰρ καὶ Ἀλεξάνδρου τῶν πάνυ προγόνων πατρὶς ἦν αὕτη. Ρωμαίοις δὲ ὕστερον οὐχ ἁλοῦσα μᾶλλον ἢ κατὰ ξυμμαχίαν ὑπήκουσε· καὶ ὥσπερ οἶμαι, μετεῖχε καὶ αὐτὴ, καθάπερ αἱ λοιπαὶ, τῆς ἐλευθερίας, καὶ τῶν ἄλλων δικαίων, ὅσα νέμουσι ταῖς περὶ τὴν ἑλλάδα πόλεσιν οἱ κρατοῦντες ἀεί. Κορίνθιοι δὲ νῦν αὐτὴν προσγενομένην αὐτοῖς· οὕτω γὰρ εἰπεῖν εὐπρεπέστερον ἀπὸ τῆς βασιλευούσης πόλεως, εἰς κακίαν ἐπαρθέντες συντελεῖν αὐτοῖς ἀναγκάζουσι· καὶ ταύτης ἦρξαν, ὥς φασι, τῆς καινοτομίας, ἕβδομος οὗτος ἐνιαυτὸς, οὔτε τὴν Δελφῶν, οὔτε τὴν Ηλείων συντέλειαν, ἧς ἠξιώθησαν, ἐπὶ τῷ διατιθέναι τοὺς παρὰ σφίσιν ἱεροὺς ἀγῶνας αἰδεσθέντες. τεττάρων γὰρ ὄντων, ὡς ἴσμεν, τῶν μεγίστων καὶ λαμπροτάτων ἀγώνων περὶ τὴν ἑλλάδα, Ηλεῖοι μὲν Ολύμπια, Δελφοὶ δὲ Πύθια, καὶ τὰ ἐν Ισθμῷ Κορίν-

θιοι,

non exiguæ,neque vulgaris virtutis fuit. Quin etiam ſimilia Macedonũ in Perſas facinora, civitati huic attribui poſſe videntur: hæc ſiquidem ultimorum avorum Philippi & Alexandri patria erat. Poſteris autem temporibus paruit Romanis non tam victa, quám in ſocietatem fœduſque adhibita: atque ut opinor, & libertatis, & juris omnis particeps fuit, quo reliquæ Græciæ civitates utuntur conceſſu ac munere Imperatorum. Atque hæc cúm ita ſint, tamẽ eam civitatem Corinthii, quæ adjuncta eſt eis (ſic enim dicere eſt honeſtius) ab urbe regnante, elati atque audaces ad ſcelus, vectigalem ſibi eſſe cogunt, & hujus incœpti ſeptimo jam anno ſunt auctores, neque Delphorum atque Eleorum tributum, ſibi ad ſacros ludos celebrandos condonatum, verentur. Cúm enim ſint quatuor (ut ſcimus) maxima & clariſſima certamina in Græcia, Elei Olympia, Delphi Pythia, Corinthii Iſthmia,

Argivi

Argivi Nemea cōficiunt & curāt. Quæ igitur æquitas eſt, manere illis immunitatem olim conceſſam, hos autem ob ſimiles ſumptus olim immunes, imó fortaſſis ne initio quidē obnoxios, privari nunc privilegio eo quod obtinuerant? Præthereá Elei & Delphi propter nobiles illas Olympiadas ſemel duntaxat pecuñias conferre ſolent: at duplicia ſunt Nemea apud Argivos, ſicut & Iſthmia apud Corinthios. Quin & hoc tempore duo præthereá certamina hæc Argivis ſunt adjecta, ut quaterni omnino ludi annis quaternis fiant. Quamobrem quo tandem jure illi ſemel exhibito certamine liberantur, hi domi quaternis ludis editis, tamen aliis præthereá tribuere coguntur, præſertim cúm neque veteres ſint, neque in Græcia ſolennes? Non enim ad gymnicos muſicóſve ludos magna pecunia Corinthiis opus eſt, ſed ad venationes, quæ ſæpé in quibuſdam theatris exhibentur, urſas

θιοι, Ἀργεῖοι δὲ τὴν τῶν Νεμέων συγκροτοῦσι
πανήγυριν. πῶς οὖν εὔλογον ἐκείνοις μὲν ὑ-
πάρχειν τὴν ἀτέλειαν τὴν πάλαι δοθεῖσαν· τοὺς
δὲ ἐπὶ ὁμοίοις δαπανήμασιν ἀφεθέντας πά-
λαι, τυχὸν δὲ οὐδὲ τὴν ἀρχὴν ὑπαχθέντας,
νῦν ἀφῃρῆσθαι τὴν προνομίαν, ἧς ἠξιώθη-
σαν; πρὸς δὲ τούτοις Ἠλεῖοι μὲν καὶ Δελφοὶ
διὰ τῆς πολυθρυλλήτου πενταετηρίδος ἅ-
παξ ἐπιτελεῖν εἰώθασι. διττὰ δέ ἐστι Νέμεα
παρὰ τοῖς Ἀργείοις, καθάπερ Ἴσθμια παρὰ
Κορινθίοις. ἐν μέντοι τούτῳ τῷ χρόνῳ καὶ
δύο πρόσκεινται παρὰ τοῖς Ἀργείοις ἀγῶνες
ἕτεροι οἵδε, ὥστε εἶναι τέσσαρας πανηγύρεις ἐνι-
αυτοῖς τέσσαρσι. πῶς οὖν εἰκὸς ἐκείνους μὲν
ἀπράγμονας εἶναι λειτουργοῦντας ἅπαξ. τού-
τους δὲ ὑπάγεσθαι καὶ πρὸς ἑτέρων συντέ-
λειαν, ἐπὶ τετραπλασίοις τοῖς οἴκοι λειτουργή-
μασιν. ἄλλως τε οὐδὲ πρὸς ἑλληνικήν, οὐδὲ
παλαιὰν πανήγυριν· οὐδὲ γὰρ ἐς χορήγησιν
ἀγώνων γυμνικῶν ἢ μουσικῶν οἱ Κορίνθιοι τῶν
πολλῶν δέονται χρημάτων· ἐπὶ δὲ τὰ κυνη-
γέσια τὰ πολλάκις ἐνίοις θεάτροις ἐπιτελού-
μενα,

μῆνα, ἄρκτους καὶ παρδάλεις ὠνοῦνται. ἀλλ' αὐτοὶ μὲν εἰκότως φέρουσι διὰ τὸν πλοῦτον καὶ τῶν ἀναλωμάτων τὸ μέγεθος, ἄλλως τε καὶ πολλῶν πόλεων, ὡς εἰκὸς, αὐτοῖς εἰς τοῦτο συναιρομένων, ὠνοῦνται τὴν τέρψιν τοῦ φρονήματος. Ἀργεῖοι δὲ χρημάτων τε ἔχοντες ἐνδεέστερον, καὶ ξενικῇ θέᾳ, καὶ παρ' ἄλλοις ἐπιδουλεύειν ἀναγκαζόμενοι, πῶς οὐκ ἄδικα μὲν καὶ παράνομα, τῆς τε περὶ τὴν πόλιν ἀρχαίας δυνάμεώς τε καὶ δόξης ἀνάξια πείσονται; ὄντες γὰρ αὐτοῖς καὶ αὐτοὶ γείτονες, οἷς προσήκειν ἦν ἀγαπᾶσθαι μᾶλλον, εἴπερ ὀρθῶς εἶχε τὸ, οὐδ' ἂν βοῦς ἀπόλοιτο, εἰ μὴ διὰ κακίαν γειτόνων· Ἀργεῖοι δὲ ἐοίκασιν οὐχ ὑπὲρ ἑνὸς πολυπραγμονούμενοι βοϊδίου ταῦτα τοὺς Κορινθίους αἰτιᾶσθαι, ἀλλ' ὑπὲρ πολλῶν καὶ μεγάλων ἀναλωμάτων, οἷς οὐ δικαίως εἰσὶν ὑπεύθυνοι. καίτοι πρὸς τοὺς Κορινθίους εἰκότως ἄν τις καὶ τοῦτο προσθείη· πότερον αὐτοῖς δοκεῖ καλῶς ἔχειν τοῖς τῆς παλαιᾶς Ἑλλάδος ἕπεσθαι νομίμοις, ἢ μᾶλλον οἷς ἔναγχος δοκοῦσι παρὰ τῆς βασιλευούσης προσει-

λη φέ-

urſas & pantheras emunt: quæ quidem ipſi facilé ferunt propter opum & ſumptuum magnitudinẽ: & multis quidem civitatibus, ut par eſt, pecunias cõferentibus, ipſi voluptatem ſuæ fraudis emũt. At Argivi & á pecuniis inopes, & externo ſpectaculo, & apud exteros homines ſervire coacti, nónne injuſtas & iniquas res, ac civitatis veteri potentia & gloria indignas patientur? Ac cúm hi ſint illis vicini, eoque nomine chariores eſſe debuiſſent, ſi modó locum haberet illud, Ne bos quidem perierit, niſi ob ſcelus vicini: tamen Argivi videntur non de bove uno ſoliciti Corinthios accuſare: ſed de multis & magnis ſumptibus, quibus præter jus & æquum obſtringuntur. Quanquam hoc etiã in Corinthios addi poteſt: utrũ malint, jura veteris Græciæ ſequi, an ea quæ nuper á principe

civitate acceperunt. Nam ſi in ſanctis veterum legibus ſtare volunt, non magis decet Argivos Corinthiis, quám Argivis Corinthios conferre: ſin autem recentes leges amplectuntur, & quoniam in Romanam coloniam redacti ſint, iccircó civitatem iſtam ſibi attribui contendunt, modeſté ab iis deprecabimur, ne altiores ſpiritus gerant ſuis patribus, neque præclara inſtituta,quæ ab illis relicta ſunt Græciæ,in perniciem propinquorum civium evertant ac mutent, præſertim recenti judicio confiſi: verúm multó magis ſe moleſtia litigandi pro Argivorum civitate liberari, in lucro & fructu avaritiæ ſuæ numerent. Nam ſi quis cauſſam hanc extra Græciã evocaſſet,minus certé virium Corinthii habuiſſent,& juris æquitas á multis & egregiis iſtis patronis diligenter exquiſita,magis apparuiſſet: á quibus & judicẽ appoſitum, & civitatis dignitatem veritũ,veriſimile eſt talem ſententiã tuliſſe.

Verúm

λῃφέναι πόλεως. εἰ μὲν γὰρ τὴν τῶν παλαιῶν νομίμων ἀγαπῶσι σεμνότητα, οὐκ Ἀργείοις μᾶλλον εἰς Κόρινθον, εἰ Κορινθίοις εἰς Ἄργος συντελεῖν προσήκει. εἰ δὲ τοῖς νῦν ὑπάρξασι, τὴν πόλιν, ἐπεὶ τὴν Ῥωμαϊκὴν ἀποικίαν ἐδέξαντο, ἰσχυριζόμενοι πλέον ἔχειν ἀξιοῦσι, παραιτησόμεθα μετρίως αὐτοὺς μὴ τῶν πατέρων φρονεῖν μείζονα, μηδὲ ὅσα καλῶς ἐκεῖνοι κρίναντες, ταῖς περὶ τὴν ἑλλάδα διεφύλαξαν πόλεσιν ἔθιμα, ταῦτα καταλύειν καὶ καινοτομεῖν ἐπὶ βλάβῃ καὶ λύμῃ τῶν ἀσυγτόνων, ἄλλως τε καὶ νεωτέρᾳ χρωμένους τῇ ψήφῳ, καὶ τὴν ἀπραγμοσύνην ὑπὲρ τῆς Ἀργείων πόλεως τὴν δίκην εἰσελθεῖν, ἕρμαιον ἔχοντας τῆς πλεονεξίας. ἣ γὰρ αὖ ἐφῆκεν ἔξω τῆς ἑλλάδος ἀπάγων τὴν δίκην, οἱ Κορίνθιοι ἔλαττόν τε ἰσχύειν ἔμελλον, καὶ τὸ δίκαιον ἐξεταζόμενον καλῶς φαίνεσθαι πρὸς τῶν πολλῶν καὶ γενναίων τούτων συνηγόρων. ὑφ' ὧν εἰκός ἐστι τὸν δικαστὴν περιθέμενον, καὶ περὶ τῶν κατὰ τὴν πόλιν ἀξιώματος δυσωπούμενον, ταύτην τὴν ψῆφον ἐξενεγκεῖν. ἀλλὰ τὰ μὲν

ὑπὲρ τῆς πόλεως δίκαια καὶ τῶν ῥητόρων, εἰ μόνον ἀκούειν ἐθέλοις, καὶ λέγειν αὐτοῖς ἐπιτραπείη, τὴν δίκην ἀπ' ἀρχῆς πεύσῃ, καὶ τὸ παραστὰν ἐκ τῶν λεγομένων ὀρθῶς κριθήσεται. ὅτι δὲ χρὴ καὶ τοῖς πρεσβείαν ταύτην προσάγουσι δι' ἡμῶν πεισθῆναι, μικρὰ προσθεῖναι χρή. Διογένης μέντοι καὶ Λαμπρίας φιλοσοφοῦσι μὲν εἴπερ τις ἄλλος τῶν καθ' ἡμᾶς. τῆς πολιτείας δὲ τὰ μὲν ἔννομα καὶ κερδαλέα διαπεφεύγασι· τῇ πατρίδι δὲ ἐπαρκεῖν ἀεὶ κατὰ δύναμιν προθυμούμενοι, ὅταν ἡ πόλις ἐν χρείᾳ μεγάλῃ γένηται, τότε ῥητορεύουσι καὶ πολιτεύονται, καὶ πρεσβεύουσι, καὶ δαπανῶσιν ἐκ τῶν ὑπαρχόντων προθύμως, ἔργοις ἀπολογούμενοι τὰ φιλοσοφίας ὀνείδη, καὶ τὸ δοκεῖν ἀχρήστους εἶναι ταῖς πόλεσι τοὺς μετιόντας φιλοσοφίαν, ψεῦδος ἐλέγχοντες. χρῆται γὰρ αὐτοῖς ἥτε πατρὶς εἰς ταῦτα, καὶ πειρῶνται βοηθεῖν αἰτίᾳ τοῦ δικαίου δι' ἡμῶν, ἡμεῖς δ' αὖθις διὰ σοῦ. τοῦτο γὰρ καὶ μόνον λείπεται τοῖς ἀδικουμένοις εἰς τὸ σωθῆναι, τὸ τυχεῖν δικαστοῦ κρίνειν τε ἐθέλοντος καὶ δυναμένου

Verúm de civitatis jure, & oratoribus, ſi audire voles, ipſiſque dicendi poteſtas fiat, cauſſam á principio audies, & de tota ſumma recté ex eorum oratione ſtatuetur. Quod veró iis qui legati huc venerunt, credere oporteat, pauca addenda ſunt. Diogenes & Lamprias, ſi quis alius hoc tempore, philoſophantur. Atque hi Reip. munera & quæſtus aſpernantur: attamen ſi patria eorum operam deſideret, ei pro viribus ſerviunt: tum cauſſas agunt, Rempubl. adminiſtant, legationes ſuſcipiunt, & pecunias liberaliter impendunt, denique re ac factis philoſophiæ crimina refutant, & quod vulgo creditur, philoſophos patriæ inutiles eſſe, falſum demõſtrant. Vtitur enim illis ad res iſtas patria, & juſtitiæ cauſſam denfendere conantur noſtro auxilio uſi, nos veró tuo. Hoc enim reliquum eſt iis,qui afficiuntur injuria,quó ſe tueãtur ac ſervent, judicem eum nãciſci,qui recté judicare &

velit & poſſit: utrũvis defuerit iſtorum, ut judex fallatur aut prævaricetur, æquitatem perire eſt neceſſe. Verúm quando judex eſt, qualem optamus, dicendi autem poteſtas non eſt, prohibitis præſertim tum oratoribus, primúm poſtulant facultatem dicendi ſibi concedi, neque illius inertiam, qui tum civitatis cauſſam agebat, tantæ fraudi ſibi in poſterum eſſe. Neque veró abſurdum debet videri, quód judicium revocetur. Vtile eſt enim populo commoda & opportunitates aliquas negligere, ut in poſterum pacem atque otium redimat. Cúm enim exiguis regionibus ejus vita terminetur, jucundum eſt exiguo ſaltem tempore tranquillé & quieté vivere: horribile autem & periculoſum in ipſo fori conſpectu cauſſam perire, & ad poſteros nõ definitam tranſmitti: ut melius eſſe videatur, boni quocũq; modo dimidiũ obtinere, quám de toto dimicãtes perire. At urbes iſtas immortales, niſi quis integré judicabit, omnemq;
contro-

ναμένου καλῶς. ὁπότερον γὰρ ἂν ἀπῇ τού-
των, ἐξαπατηθέντος ἢ καταπροδόντος αὐτοῦ,
τὸ δίκαιον οἴχεσθαι πάντως ἀνάγκη. ἀλλ' ἐ-
πειδὴ νῦν ἡμῖν τὰ μὲν τῶν δικαστῶν ὑπάρ-
χει κατ' εὐχάς, λέγειν δ' οὐκ ἔνι μὴ τότε ἐ-
φέντας, ἀξιοῦσι τοῦτο πρῶτον αὐτοῖς ἀνεθῆ-
ναι· καὶ μὴ τὴν ἀπραγμοσύνην αὐτοῦ τότε
συμφέροντος τῇ πόλει, καὶ τὴν δίκην ἐπιτρο-
πεύσαντος, αἰτίαν αὐτῇ γενέσθαι εἰς τὸν ἔπει-
τα αἰῶνα βλάβης τοσαύτης. ἄτοπον δὲ οὐ
χρὴ νομίζειν, τό, τὴν δίκην αὖθις ἀνάδικον
ποιεῖν. τοῖς μὲν γὰρ ἰδιώταις συμφέρει τὸ κρεῖτ-
τον καὶ λυσιτελέστερον ὀλίγων παριδεῖν, τὴν εἰς
τὸν ἔπειτα χρόνον ἀσφάλειαν ὠνουμένοις. ὄν-
τος γὰρ αὐτοῖς ὀλίγου βίου, ἡδὺ μὲν καὶ τὸ μετ' ὀ-
λίγων ἡσυχίαν ἀπολαῦσαι· φοβερὸν δὲ καὶ
περὶ τῶν δικαστηρίων ἀπολέσθαι κρινόμενον,
καὶ παραπέμψαι τὴν δίκην ἀτελῆ. ὥστε κιν-
δυνεύειν κρεῖσσον εἶναι τὸ καλὸν ὁπωσοῦν προσ-
λαβεῖν ἥμισυ, ἢ περὶ τοῦ παντὸς ἀγωνιζόμε-
νον ἀποθανεῖν. τὰς πόλεις δ' ἀθανάτους οὔσας,
εἰ μή τις δικαίως κρίνας, τῆς πρὸς ἀλλήλας

φιλονεικίας ἀπαλλάξῃ, ἀθάνατον ἔχειν τὴν δύσνοιαν πάντως ἀναγκαῖον. καὶ τὸ μῖσος δὲ ἰσχυρὸν τῷ χρόνῳ κρατυνόμενον. εἴρηται, φασὶν οἱ ῥήτορες, ὅγ᾽ ἐμὸς λόγος· κρίνοις δ᾽ αὐτὸς τὰ δέοντα.

Ἰουλιανὸς αὐτοκράτωρ Πορφυρίῳ χαίρειν.

Πολλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη Γεωργίου παντοδαπῶν μὲν φιλοσόφων, πολλῶν δὲ ὑπομνηματογράφων. οὐκ ἐλάχιστα δ᾽ ἐν αὐτοῖς καὶ τὰ τῶν Γαλιλαίων πολλὰ καὶ παντοδαπὰ βιβλία. πᾶσαν οὖν ἀθρόως τὴν βιβλιοθήκην ἀναζητήσας, φρόντισον εἰς Ἀντιόχειαν ἀποστεῖλαι, γινώσκων ὅτι μεγίστῃ δὴ καὶ αὐτὸς περιβληθήσῃ ζημίᾳ, εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσαις καὶ τοὺς ὁπωσοῦν ὑπονοίαν ἔχοντας ὑφῃρῆσθαι τῶν βιβλίων, πᾶσι μὲν ἐλέγχοις, παντοδαποῖς δὲ ὅρκοις, πλείονι δὲ τῶν οἰκετῶν βασάνῳ πείθειν εἰ μὴ δύναιο, καταναγκάσας εἰς μέσον πάντα προσκομίσαι.

cõtroverſiam dirimet, ſempiternas inimicitias gerere neceſſe eſt. Grave autem odium eſſe ſolet, quod temporis longinquitas confirmavit. Dixi, ajunt rhetores, nunc de cauſſa, ut æquum erit, ſtatuito.

JULIANUS IMPERATOR
Porphyrio S.

Georgii magna ſané & copioſa bibliotheca fuit, & philoſophorum, & hiſtoricorum omni genere referta: ſed de Galilæorum maximé doctrina permulti & varii commentarii extabant. Quare totam eam bibliothecam perquire, & Antiochiam mitte: ſcito autem te quoque graviſſimas pœnas eſſe daturum, niſi omnem diligentiam in quærendo adhibueris, & quos ſuſpicio erit quacunque ratione libros aliquos intervertiſſe, tum argumentis omñibus, tum jurejurando multiplici, tum multó magis ſervorum quæſtione, niſi queas convincere, ſaltem vi cogas eos in medium proferre.

De Georgii bibliotheca ſupra etiã fuit epiſtola.

AMERIO.

CõſolaturAmeriũ de uxoris obitu, Darii exẽplo.

Legi tuam epiſtolam non ſine lachrymis, in qua de uxoris tuæ obitu ſcribis, caſuſque acerbitatem exponis. Nã cúm res per ſe luctuoſa ſit, uxorem adoleſcentulam & caſtam, & viro ſuo jucundam, prætereaque liberorum præſtantium matrẽ, ante tempus ereptam eſſe, tanquam facem accenſam, & pauló póſt extinctam: tum veró ad te dolorem eum pertinere, per mihi moleſtum eſt. Etenim indigniſſimus erat omnium noſter Amerius, qui moleſtiam doloremque aliquem guſtaret, vir & oratione optimus, & nobiſcum conjunctiſsimus. Verúm enimveró ſi ad alium ſcriberem, omnino longiore mihi oratione opus eſſet, qua & humanum eſſe eum caſum docerem, & ferre neceſſarium, & in luctu graviore ſolatium majus non eſſe, denique omnia remedia quæ ad dolorem leniendum apta viderentur, tanquam eorum imperito adhiberẽ. Nũc veró quoniã turpe videtur ad

Ἀμερίῳ.

Οὐκ ἀδακρυτί σου τὴν ἐπιστολὴν ἀνέγνων, ἣν ἐπὶ τῷ τῆς συνοικούσης θανάτῳ πεποίησαι, τοῦ πάθους τὴν ὑπερβολὴν ἀγγείλας. πρὸς γὰρ τῷ καὶ καθ' ἑαυτὸ λύπης τὸ ξυμβὰν ἄξιον εἶναι, γυναῖκα νέαν καὶ σώφρονα καὶ θυμήρη τῷ γήμαντι, πρὸς δὲ καὶ παίδων ἱερῶν μητέρα, πρὸ ὥρας ἀναρπασθῆναι καθάπερ δᾷδα ἡμμένην, εἶτα ἐν ὀλίγῳ καταβαλοῦσαν τὴν φλόγα, ἔτι καὶ τὸ τοῦ πάθους εἰς σὲ τεῖνον, οὐχ ἧττόν μοι δοκεῖ λυπηρὸν εἶναι. ἥκιστα γὰρ δὴ πάντων ἄξιος ἦν ὁ καλὸς ἡμῶν Ἀμέριος, ἀλγεινοῦ τινος εἰς πεῖραν ἐλθεῖν, ἀνὴρ καὶ λόγῳ χρηστός, καὶ ἡμῖν εἰς τὰ μάλιστα τῶν φίλων ὁ ποθεινότατος. οὐ μὴν ἀλλ' εἰ μὲν ἕτερος ἦν, ᾧ γράφειν ἐπὶ τούτων ἐχρῆν, πάντως ἂν ἔδει μοι πλειόνων εἰς τοῦτο λόγων, τό, τε συμβὰν ὡς ἀνθρώπινον, καὶ τὸ φέρειν ὡς ἀναγκαῖον, καὶ τὸ μηδὲν ἐκ τοῦ μᾶλλον ἀλγεῖν, ἔχειν πλέον εὑρεῖν, καὶ πάντα ὅσα ἐδόκει πρὸς τὴν τοῦ πάθους παραμυθίαν ἁρμόττειν, ὡς ἀγνοοῦντα διδάσκοντι. ἐπεὶ δὲ αἴσχιον ἡγοῦμαι

πρὸς

πρὸς ἄνδρα τοῖς ἄλλοις νουθετοῦντα ποιεῖσθαι λόγους, οἷς χρὴ τοὺς μὴ εἰδότας σωφρονίζειν καὶ παιδεύειν, φέρε σοι τὰ ἄλλα παρεὶς, ἀνδρὸς εἴπω σοφοῦ μῦθον, εἴτε δὴ λόγον ἀληθῆ, σοὶ μὲν ἴσως οὐ ξένον, τοῖς πλείοσι δὲ, ὡς εἰκὸς, ἄγνωστον, ᾧ δὴ καὶ μόνῳ χρησάμενος ὥσπερ φαρμάκῳ νηπενθεῖ, λύσιν ἂν εὕροις τοῦ πάθους, οὐκ ἐλάττω τῆς κύλικος ἣν ἡ λάκαινα τῷ Τηλεμάχῳ πρὸς τὸ ἴσον τῆς χρείας ὀρέξασθαι πιστεύεται. φασὶ γὰρ Δημόκριτον τὸν Ἀβδηρείτην, ἐπειδὴ Δαρείῳ γυναικὸς καλῆς ἀλγοῦντι θάνατον οὐκ εἶχεν ὅ, τι ἂν εἰπὼν εἰς παραμυθίαν ἀρκέσειεν, ὑποσχέσθαι οἱ τὴν ἀπελθοῦσαν εἰς φῶς ἀνάξειν, ἢν ἐθελήσῃ τῶν εἰς τὴν χρείαν ἡκόντων ὑποστῆναι τὴν χορηγίαν. κελεύσαντος δὲ ἐκείνου μὴ φείσασθαι, ὅ, τι δ' ἂν ἐξῇ λαβόντα τὴν ὑπόσχεσιν ἐμπεδῶσαι, μικρὸν ἐπισχόντα χρόνον εἰπεῖν, ὅ τι τὰ μὲν ἄλλα αὐτῷ πρὸς τὴν τοῦ ἔργου πρᾶξιν συμπορισθείη, μόνου δὲ ἑνὸς προσδέοιτο, ὃ δὴ αὐτὸν μὲν οὐκ ἔχειν ὅπως ἂν λάβοι, Δαρεῖον δὲ ὡς βασιλέα ὅλης τῆς Ἀσίας, οὐ χαλε-

πῶς

ad eum qui cæteros docet,ea uti oratione, qua indoctos lenire ac erudire conſuevimus,age cæteris rebus omiſſis, referam tibi fabulã vel potius verũ ſermonem ſapientis cujuſdam viri, non quidẽ illum tibi fortaſſe inauditum, attamen multis,ut opinor,ignotum, quo vel unico tanquam lætitiæ pharmaco uſus, ægritudinis remedium invenies, non minus quám illo poculo, quod Telemacho in re ſimili Lacæna dediſſe creditur. Ajunt enim Democritum Abderiten, cúm nullo modo poſſet Darium, cui pauló anté uxor pulcherrima é vita exceſſerat, conſolari, ſe illi mortuam reſuſcitaturum dixiſſe,ſi vellet res ad id negociũ neceſſarias ſuppeditare: cumque Rex eum juberet nulla ſumptus ratione habita, quidquid opus eſſet, accipere,promiſſaque præſtare: tum pauliſper cunctatum dixiſſe,cætera quidẽ ſibi abundé ſuppetere, unum deeſſe, neque id quemadmodũ haberi poſſet ſe intelligere:Darium tamen quód totius Aſiæ Rex

Tale quiddã refert Lucianus in Demonacte.

Rex eſſet,facilé fortaſſe cõſequuturum. Hic cúm rogaret ille, quid tandem tam magnum eſſet, quod ſoli regi fas eſſet ſcire: tum Democritum reſpondiſſe ajunt, Si tumulo uxoris inſcriberet nomina trium, quas nemo luxiſſet, ſic demum illam ab inferis eſſe redituram: fore enim ut ejus mortis conſuetudine erubeſceret. Tum Darius cúm hæreret, neminemq; reperiret, cui triſte aliquid non accidiſſet, Democritus pro ſua cõſuetudine ridens, Et tu, inquit, ineptiſſime omnium non vereris lugere, quaſi unus tãti mali particeps, cúm neminem eorum qui unquam fuerunt, ſine privato aliquo dolore vixiſſe reperias? Verúm iſta quidem Darium audire conveniebat, hominem barbarum & indoctum, voluptati ac dolori obſequentem: at te & Græcũ, & veræ doctrinæ ſtudioſum, á teipſo habere decet, ut tibi imperes. Etenim turpe fuerit rationi, non poſſe impetrare, quod impetratura eſt dies.

Hæc epiſtola ſcripta eſt in Gallia paulo poſtquã imperator eſt appellatus Julianus.

MAXIMO PHILOSOPHO.

Omnes uno tẽpore cogitationes meæ ſeſe mihi offerũt, vocemque intercludũt, dum nulla aliam præire patitur:

ſive

πῶς ἂν ἴσως εὕρῃ. ἑρμηνέως δ' ἐκείνου τί ἂν εἴη τοσοῦτον, ὃ μόνῳ βασιλεῖ γνωσθῆναι συγχωρεῖται; ὑπολαβόντα φασὶ τὸν Δημόκριτον, εἰ τριῶν ἀπενθήτων ὀνόματα τῷ τάφῳ τῆς γυναικὸς ἐπιγράψειεν, εὐθὺς αὐτὴν ἀναβιώσεσθαι, ἐπὶ τῇ τελευτῇ τῆς νόμῳ δυσωπουμένην. ἀπορήσαντος δὲ τοῦ Δαρείου, καὶ μηδένα ἄνδρα δυνηθέντος εὑρεῖν, ὅτῳ μὴ καὶ παθεῖν λυπηρόν τι συνηνέχθη, γελάσαντα συνήθως τὸν Δημόκριτον εἰπεῖν· ἔτι ὦ πάντων ἀτοπώτατε, θρηνεῖς ἀναίδην, ὡς μόνος ἀλγεινῷ τοσούτῳ συμπλακείς, ὁ μηδὲ ἕνα τῶν πώποτε γεγονότων ἄμοιρον οἰκείου πάθους ἔχων εὑρεῖν; ἀλλὰ ταῦτα μὲν ἀκούειν ἐδεῖτο Δαρεῖος ἀνὴρ βάρβαρος καὶ ἀπαίδευτος, ἔκδοτος ἡδονῇ καὶ πάθει· σὲ δὲ ἄνδρα Ἕλληνα καὶ παιδείαν ἀληθῆ πρεσβεύοντα, καὶ παρὰ σαυτοῦ τὸ εἰκὸς ἔχειν ἀρχεῖν. ἐπεὶ καὶ ἄλλως αἰσχύνη τοῦ λογισμοῦ γένοιτ' ἄν, εἰ μὴ τοῦτον δύναιτο τῷ χρόνῳ.

Μαξίμῳ φιλοσόφῳ.

Πάντα ἀθρόα ἔπεισί μοι, καὶ ἀποκλείει τὴν φωνὴν ἄλλο ἄλλῳ προεξελθεῖν οὐ συγχωροῦν

τῶν

τῶν ἐμῶν διανοημάτων· εἴτε ψυχρὸν τῶν παθῶν, εἴτε ὅπως φίλον κατονομάζειν τὰ τοιαῦτα. ἀλλ᾽ ἀποδῶμεν αὖθις, ἣν ὁ χρόνος ἀπέδωκε τάξιν, εὐχαριστήσαντες τοῖς πάντα ἀγαθοῖς θεοῖς, οἳ τέως μὲν γράφειν ἐμοὶ συνεχώρησαν, ἴσως δὲ ἡμῖν καὶ ἀλλήλοις ἰδεῖν συγχωρήσουσιν. ὡς πρῶτον αὐτοκράτωρ ἄκων ἐγενόμην· ὡς ἴσασιν οἱ θεοί, καὶ τοῦτο αὖθις καταφανὲς ὃν ἐνεδέχετο τρόπον ἐποίησα· στρατεύσας ἐπὶ τοὺς βαρβάρους, ἐκείνης μοι γενομένης τριμήνου στρατιᾶς, ἐπανιὼν εἰς τοὺς γαλατικούς, ἐπεσκόπουν, καὶ τῶν ἐκεῖθεν ἡκόντων ἀνεπυνθανόμην, μή τις φιλόσοφος, μή τις σχολαστικός, ἢ τριβώνιον ἢ χλανίδιον φορῶν κατῆρεν. ἐπεὶ δὲ περὶ τὸν Βικεντίωνα· πολίχνιον δὲ νῦν ἐστιν ἀνειλημμένη, πάλαι δὲ μεγάλη τε ἦν, καὶ πολυτελέσιν ἱεροῖς ἐκεκόσμητο, τείχει καρτερῷ, καὶ προσέτι τῇ φύσει τοῦ χωρίου, περιθεῖ γὰρ αὐτὸ ὁ Δαίουβις ποταμός, ἡ δὲ ὥσπερ ἐν θαλάττῃ πετρώδης ἄκρα ἀνέστηκεν, ἄβατος ὀλίγου δέω φάναι καὶ αὐτοῖς ὄρνισι, πλὴν ὅσα ὁ ποταμὸς αὐτὴν πε-

ſive eſt ineptus & frigidus quidam affectus, ſive aliud quodcunque voles nominare : ſed demus eis locum, quem tempus tribuit, diiſque optimis gratias agamus, qui adhuc facultatem ſcribendi nobis conceſſere, ac viſendi mutuó fortaſſis etiam cõcedent. Cúm primúm imperator invitus creatus ſum (cujus rei conſcii ſunt dii, & quantum in me ſitum fuit, ipſis declaravi) bellum gerens in barbaros, & trimeſtri ſpatio in ea militia conſumpto, ad Gallos revertens, circunſpiciebam, & percõtąbar de omnibus qui illinc venirent, num quis philoſophus, num quis ſcholaſticus, aut pallio penulave indutus eó appuliſſet. Cúm autem Vicentionem appropinquarem (eſt autem oppidulum nunc refectum, magnum tamẽ olim, & magnificis templis ornatum, mœnibus firmiſſimis, & loci natura munitum, propterea quód cingitur Danubio : eſtque ut in mari rupes excelſa, propemodum ipſis avibus inacceſſa, niſi quá flumen ambiens
S tanquam

tanquam littora quædam habet proje-ꝺta)cúm,inquam, propé abeſſem ab hac urbe, vir quidam Cynicus cum pera & baculo mihi occurrit. Eum ego cúm eminus aſpexiſſem, teipſum eſſe putavi: cúm acceſſi propiús, á te omnino illum venire ſuſpicatus ſum. Eſt autem mihi quidem ille amicus, multúm tamen infra expectationem meam. Ergo hoc unum nobis commodum attulit. Poſteá exiſtimabam te de rebus meis ſolicitũ, nuſquam é Græcia pedem extuliſſe. Teſtis eſt Jupiter, teſtis magnus Sol, teſtis Minerva, teſtes dii deæque omnes, quãto in timore tua cauſſa fuerim, cúm ad Illyrios á Gallis venirem. Et quidem ſciſcitabar deos, non ego ipſe (neque enim præſens ſpectare audiréve potuiſſem, quis tum ſtatus eſſe poſſet rerum tuarum) ſed aliis negotium committebam. At dii manifeſté oſtendebant perturbationes aliquas tibi fore, nihil tamẽ terribile, aut opportunum ſceleratis cõſiliis denunciabãt. Sed vides me multas & magnas res præterire. Illud maximé

te

ειρρέων, ὥσπέρ τινας ἀγγέλους ἔχει περικειμένους· ταύτης πλησίον τῆς πόλεως ἀπήντησέ κυνικός τις ἀνήρ, ἔχων τρίβωνα καὶ βακτηρίαν. τοῦτον πόῤῥωθεν θεασάμενος, οὐδὲν ἄλλο ὑπέλαβον ἢ σέ. πλησίον δὲ ἤδη παριὼν, παρὰ σοῦ πάντως ἥκειν αὐτὸν ἐνόμιζον. οὗτος δ᾽ ἀνὴρ φίλος μὲν, ἧττον δὲ τῆς προσδοκωμένης ἐλπίδος. ἓν μὲν δὴ τοιοῦτον ὄναρ ἐγένετό μοι. μετὰ τοῦτο δὲ ᾤμην σε πολυπραγμονήσαντα τὰ κατ᾽ ἐμὲ, τῆς ἑλλάδος ἐκτὸς οὐδαμῶς εὑρεθῆναι. ἴστω Ζεὺς, ἴστω μέγας ἥλιος, ἴστω Ἀθηνᾶς κράτος, καὶ πάντες θεοὶ καὶ πᾶσαι, πῶς κατιὼν ἐπὶ τοὺς Ἰλλυριοὺς ἀπὸ τῆς Κελτῶν, ἔτρεμον ὑπὲρ σοῦ. καὶ ἐπυνθανόμην τῶν θεῶν, αὐτὸς μὲν οὐ τολμῶν· οὐ γὰρ ὑπέμενον οὔτε ἰδεῖν τοιοῦτον, οὔτε ἀκοῦσαι οὐδὲν, οἷ᾽ ἄν τις ὑπέλαβε δύνασθαι τηνικαῦτα περί σε γίνεσθαι· ἐπέτρεπον δὲ ἄλλοις. οἱ θεοὶ δὲ ταραχὰς μέν τινας ἔσεσθαι περί σε περιφανῶς ἐδήλουν, οὐθὲν μέντοι δεινὸν, οὐδὲ εἰς ἔργον τῶν ἀθέσμων βουλευμάτων. ἀλλ᾽ ὁρᾷς ὅτι μεγάλα καὶ πολλὰ παρέδραμον. μάλι-

στά σε πυθέσθαι ἄξιον, πῶς μὲν ἀθρόως τῆς ἐπιφανείας ᾐσθόμεθα τῶν θεῶν, ἵνα δὲ τρόπον τὸ τοσοῦτον τῶν ἐπιβούλων πλῆθος διεπεφεύγαμεν, κτείναντες οὐδένα, χρήματα οὐδενὸς ἀφελόμενοι, φυλάξαντες δὲ μόνον οὓς ἐλαμβάνομεν ἐπ' αὐτοφώρῳ. ταῦτα μὲν δέον ἴσως οὐ γράφειν, ἀλλὰ φράζειν χρή· οἶμαι δέ σε καὶ μάλα ἡδέως πεύσεσθαι. θρησκεύομεν τοὺς θεοὺς ἀναφανδόν· καὶ τὸ πλῆθος τοῦ συγκατελθόντος μοι στρατοπέδου θεοσεβές ἐστιν. ἡμεῖς φανερῶς βουθυτοῦμεν. ἀποδεδώκαμεν τοῖς θεοῖς χαριστήρια, ἑκατόμβας πολλάς. ἐμὲ κελεύουσιν οἱ θεοὶ τὰ πάντα ἁγνεύειν εἰς δύναμιν. καὶ πείθομαί γε καὶ προθύμως αὐτοῖς. μεγάλους καρποὺς τῶν πόνων ἀποδώσειν φασίν, ἂν μὴ ῥαθυμῶμεν. ἦλθε πρὸς ἡμᾶς Εὐάγριος.

Τῷ αὐτῷ.

odyss. o. Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν, Ὅμηρος ὁ σοφὸς ἐνομοθέτησεν· ἡμῖν δὲ ὑπάρχει πρὸς ἀλλήλους ξενικῆς φιλίας ἀμείνων, ἥτε διὰ τῆς ἐνδεχομένης παιδείας,

καὶ

te audire convenit, & quemadmodum uno tempore præſens auxilium deorum ſenſimus, & tantam inſidiatorum multitudinem effugimus, nemine occiſo aut ſpoliato, ſed iis tantum cuſtodiæ traditis, qui in ſcelere ipſo deprehenſi erant. Atque hæc quidem fortaſſe melius erat dicere, quám ſcribere: puto tamen abs te libentiſſimo animo auditum iri. Deos publicé & palám colimus, & totus meus exercitus pietatem amat. Nos aperté boves immolamus. Diis gratias egimus multis hecatombis. Me jubent dii puré & caſté, quoad potero, vivere. Ego veró iis pareo, & quidem libenti animo. Magnos fructus laborum pollicentur, niſi ſegniter agamus. Venit ad nos Euagrius.

EIDEM.

Dum tecum eſt hoſpes, colito, dimitte volentem, ſic lex Homeri præcipit: at nobis amicitia eſt longé major, quám illa hoſpitii, nempe hæc, quā do-

ctrina quæcũque eſt,ac religio conciliat. Quare nemo me jure accuſaſſet, quaſi Homericam legem violarem, ſi te apud nos diutius manere voluiſſem: Sed cúm viderem, corpuſculum tuum curationis ac ſolatii majoris indigere, permiſi tibi ut ires in patriam, & de commoditate itineris providi: uſum ſiquidem publici vehiculi tibi conceſſi. Æſculapius & dii omnes te deducant, atque iterũ ad nos adducant.

IAMBLICHO.

Excuſatio de intermiſſo ſcribendi officio.

Sentio tuam in reprehendendo dulcedinem, & quemadmodum utrunque pariter efficias, ut & nos ſcribendo ornes,& reprehendendo erudias. Ego veró ſi mihi eſſem conſcius vel tantillum officio erga te meo defuiſſe, certé aliqua probabili ratione crimen conarer effugere,quãtum poſſem, aut delicti veniam petere non recuſarem: præſertim cúm te ſciam non eſſe tuis implacabilem, ſi quid per imprudẽtiam in amicitia offenderint. Nunc autem (neque enim cunctationem aut inertiam res

ferebat,

καὶ τῆς περὶ τοὺς θεοὺς εὐσεβείας. ὥστε οὐκ ἂν μέλλοις ἐγκαλέσαι δικαίως τὸν Ὁμήρου παραβαίνοντα νόμον, εἰ καὶ ἐπὶ πλεῖόν σε μένειν παρ᾽ ἡμῖν ἀξιώσαιμι. ἀλλά σοι τὸ σωμάτιον ἰδὼν ἐπιμελείας πλείονος δεόμενον, ἐπέτρεψα βαδίζειν εἰς τὴν πατρίδα, καὶ ῥᾳστώνης ἐπιμεληθῆναι τῆς πορείας. ὀχήματι γοῦν ἔξεστί σοι δημοσίῳ χρήσασθαι. πορεύοιεν δέ σε σὺν Ἀσκληπιῷ πάντες οἱ θεοὶ, καὶ πάλιν ἡμῖν συντυχεῖν δοῖεν.

Ἰαμβλίχῳ.

Αἰσθάνομαί σου τῆς ἐν τῇ μέμψει γλυκύτητος, καὶ ὡς ἑκάτερον ἐξ ἴσου περάττεις, καὶ οἷς γράφεις τιμῶν, καὶ οἷς ἐγκαλεῖς παιδεύων. ἐγὼ δὲ εἰ μέν τι συνῄδειν ἐμαυτῷ τοῦ πρός σε γιγνομένου καὶ κατὰ μικρὸν ἐλλείψαντι, πάντως ἢ τὰς προφάσεις εὐλόγως εἰπὼν, ἐπειρώμην, ὡς ἐνῆν, τὴν μέμψιν ἐκκλίνειν, ἢ συγγνώμην ἁμαρτὼν αἰτεῖν οὐκ ἠρνούμην. ἐπεὶ μηδὲ ἄλλως ἀσύγγνωστον οἶδά σε πρὸς τοὺς σοὺς, εἴ τι τῶν πρός σε φιλικῶν ἐξήμαρτον ἄκοντες. νῦν δέ· οὐ γὰρ ἐῶ οὔτε παροφθῆ-

ναι θέμις, οὔτε ἡμᾶς ἀμελεῖν, ἵνα τύχοιμεν ὧν ἀεὶ ζητοῦντες ποθοῦμεν. φέρε σοι καθάπερ ἐν ὅρῳ γραφῆς ἀπολογήσομαι, καὶ δείξω μηδὲν ἐμαυτὸν ὧν ἐχρῆν, εἰς σὲ παρειδεῖν, ἀλλὰ μηδὲ μελλῆσαι τολμήσαντα. ἦλθον ἐκ Παιονίας ἤδη τρίτον ἔτος τουτὶ, μόλις ἀφ' ὧν οἶσθα κινδύνων καὶ πόνων σωθείς. ὑπερβὰς δὲ τὸν χαλκηδόνιον πορθμὸν, καὶ ἐπιστὰς τῇ Νικομηδέως πόλει, σοὶ πρώτῳ καθάπερ πατρίῳ θεῷ τὰ πρωτόλεια τῆς ἐμαυτοῦ σώστρων ἀπέδωκα, σύμβολον τῆς ἀφίξεως τῆς ἐμῆς, οἷον ἀντ' ἀναθήματος ἱεροῦ τὴν εἰς σὲ πρόρρησιν ἐκπέμπων. καὶ ἦν ὁ κομίζων τὰ γράμματα τῶν βασιλείων ὑπασπιστῶν εἷς, Ἰουλιανὸς ὄνομα, Βακχύλου παῖς, Ἀπαμεὺς τὸ γένος, ᾧ διὰ τοῦτο μάλιστα τὴν ἐπιστολὴν ἐνεχείριζον, ὅτι καὶ πρὸς ὑμᾶς ᾔει, καί σε ἀκριβῶς εἰδέναι καθυπισχνεῖτο. μετὰ ταῦτά μοι καθάπερ ἐξ Ἀπόλλωνος ἱερὸν ἐφοίτα παρά σου γράμμα, τὴν ἄφιξιν τὴν ἡμετέραν ἀσμένως ἀκηκοέναι δοκοῦντος. ἦν τε τοῦτο ἐμοὶ δεξιὸν οἰώνισμα καὶ χρηστῶν ἐλπίδων ἀρχὴ, Ἰάμ-

βλιχος

ferebat, ſi modó aſſequi aliquando volumus, quæ ſemper optavimus) conſtitui tibi tanquam coram judice res eſſet, cauſſam dicere, nihilque á me, ſecús quám oporteret, vel negligẽtia, vel tarditate commiſſum eſſe, probare. E Pannonia veni tertio ab hinc anno, vix ex illis periculis & laboribus, quos tu minimé ignoras, ereptus. Cúm autem fretũ Chalcedonium trajeciſſem, & ad urbem Nicomedis appropinquaſſem, tibi primo quaſi patrio Deo prima pro ſalute mea vota perſolvi, cúm ad te ſignũ adventus mei, quaſi donarium aliquod ſacrum, ſalutationem miſi. Literas autem ferebat unus é regiis ſatellitibus nomine Julianus, Bacchyli filius, genere Apameus, cui propterea libentiús epiſtolam tradidi, quód & iſtuc ire, & te optimé noſſe ajebat. Poſteá veró mihi abs te tãquam ab Apolline ſacra epiſtola allata eſt, qua te libenter de meo adventu cognoviſſe declarabas. Fuit veró mihi tanquam lætum omẽ, & initium bene ſperandi, ſapiens ille Iamblichus & Iamblichi

blichi literæ. Quid hic commemorem quantopere lætatus fuerim, aut quemadmodum legendis tuis literis affectus? Si enim de hac re literas noſtras accepiſti (quas tabellario cuidam ex iis qui ad nos iſtinc veniunt, dedimus ad te perferendas) certé quantam ex iis voluptatem cœperim, é noſtris verbis intelligis. Iterum autem cúm domum rediret educator meorum liberorum, alteras ad te literas miſi, quibus & tibi de prioribus tuis literis gratias agebam, & ſimul in poſterum mutuas á te literas flagitabam. Poſteá venit ad nos legatus clarus vir Sopater, utque hominem agnovi, continuó exilui, eumque complexus, flevi præ gaudio, quód nihil niſi te ac tuas literas augurarer. Quas ut accepi, oſculatus ſum, & ad oculos admovi, mordicuſque tenui, quaſi veritus, ne inter legendum imago vultus tui ex oculis meis ſenſim evolaret. Et quidem ſtatim reſcripſi, non ad te ſolum, ſed etiam ad illius filium Sopatrum clariſſimum,

βλιχος ὁ σοφὸς, καὶ τὰ Ἰαμβλίχου γράμματα. τί με δεῖ λέγειν ὅπως ηὐφράνθην, ἢ ἃ περὶ τὴν ἐπιστολὴν ἔπαθον σημαίνειν; εἰ γὰρ ἐδέξω τὰ παρ' ἡμῶν ἕνεκα τούτου γραφέντα· ἦν δὲ δι' ἡμεροδρόμου τῶν ἐκεῖθεν ἡκόντων ὡς σὲ πεμφθέντα· πάντως ὁπόσην ἐπ' αὐτοῖς ἡδονὴν ἔσχον, ἀφ' ὧν ἐδήλωσα γινώσκεις. πάλιν ἐπανιόντος οἴκαδε τοῦ τροφέως τῶν ἐμαυτοῦ παιδίων, ἑτέρων ἦρχον πρὸς σε γραμμάτων, ὁμοῦ καὶ τὴν ἐπὶ τοῖς φθάνουσι χάριν ὁμολογῶν, καὶ πρὸς τὸ ἑξῆς ἐν ἴσῳ παρά σου τὴν ἀντίδοσιν αἰτῶν. μετὰ ταῦτα ἐπρέσβευσεν ὡς ἡμᾶς ὁ καλὸς Σώπατρος· ἐγὼ δὲ ὡς ἔγνων, εὐθὺς ἀναπηδήσας ἧξα, καὶ περιπλακεὶς ἐδάκρυον ὑφ' ἡδονῆς, οὐδὲν ἄλλο ἢ σε καὶ τὰ παρά σου πρὸς ἡμᾶς ὀνειροπολῶν γράμματα. ὡς δὲ ἔλαβον, ἐφίλησα, καὶ τοῖς ὀφθαλμοῖς προσῆγον, καὶ ἀπρὶξ εἰχόμην, ὥσπερ δεδιὼς μὴ λάθῃ με ἀποπτὰν ἐν τῇ τῶν γραμμάτων ἀναγνώσει τὸ τῆς εἰκόνος ἴνδαλμα. καὶ δὴ καὶ ἀντέγραφον εὐθὺς, οὐ πρὸς σε μόνον, ἀλλὰ καὶ πρὸς τὸν ἱερὸν Σώπατρον τὸν

ἐκείνου

ἐκείνου παῖδα, καθάπερ θρυλλόμενος, ὅτι τὸν κοινὸν ἑταῖρον ἐκ τῆς Ἀπαμείας οἱ ἐνέχυρον τῆς ὑμετέρας ἀπουσίας ἀντειληφότες εἴημεν. ἐξ ἐκείνου ταύτην ἤδη πρός σε γεγραφὼς, αὐτὸς, οὐδεμίαν δηλῶ, ἢ τὴν ἐν ᾗ μέμφεσθαι δοκεῖς ἐπιστολὴν ἐδεξάμην. εἰ μὲν δὴ διὰ τοῦτο ἐγκαλεῖς, ἵνα περὶ τῆς αἰτίας σχήματι πλείονας ἡμῖν ἀφορμὰς τοῦ γράφειν παρεξενῇς, δέχομαι τὴν μέμψιν ἄσμενος πάντων, καὶ ἐν οἷς λαμβάνω, ὃ παρὰ τῆς χάριτος εἰς ἐμαυτὸν οἰκειοῦμαι. εἰ δὲ ὡς ἀληθῶς ἐλλείψαντά τι τοῦ πρός σε καθήκοντος αἰτιᾷ, τίς ἂν ἐμοῦ γένοιτ' ἂν ἀθλιώτερος, διὰ γραμματοφόρων ἀδικίαν ἢ ῥᾳθυμίαν, πάντων ἥκιστα τούτου τυγχάνοντος; καίτοι ἐγὼ μὲν κἂν μὴ πλεονάκις γράφω, δίκαιός εἰμι συγγνώμης παρὰ σοῦ τυγχάνειν. οὐ τῆς ἀσχολίας ἣν ἐν χερσὶν ἔχω, φαίην ἄν. μὴ γὰρ οὕτω πράξαιμι κακῶς, ὡς μὴ καὶ ἀσχολίας ἁπάσης, καθά φησι Πίνδαρος, ὃ κατά σε κρεῖττον ἡγεῖσθαι· ἀλλ' ὅτι πρὸς ἄνδρα τηλικοῦτον, οὗ καὶ μνησθῆναι φόβος, ὁ καὶ γράφειν κατοκνῶν, τοῦ πλέον ἢ

προσή-

mum, quaſi ludens quód communem amicum ex Apamea tanquam obſidem pro vobis abſentibus accepiſſemus. Ex eo tempore cúm hanc ad te ſcripſerim, nullam abs te epiſtolam accepi, præter iſtam qua me videris accuſare. Ac ſi ob id nos accuſas, ut hac ſpecie accuſationis majorem nobis occaſionem ſcribẽdi præbeas, accipio libenti animo totam accuſationem tuam, atque ex his ipſis literis, quas abs te accipio, omnem gratiam & ſuavitatem decerpo. Sin autem omninó peccatum aliquod meum erga te accuſas, quis me miſerior, qui per tabellariorum injuriam aut negligentiam tibi ſatisfacere officio non poſſum? Quanquam ego certé licet non perſæpé ſcriberem, attamẽ jure poſſem á te veniam obtinere, non propter negotium quod in manibus habeo (abſit enim ut adeó ſim miſer, ut te meis rebus omnibus, ſicut Pindarus ait, non anteponam) ſed quód ad te tantum virum, cujus vel meminiſſe ſine timore non licet, qui ſcribere etiam cunctatur, ſapien-

ſapientior eſt meo judicio, quám is qui nimis audet. Nam ſicut qui in Solē aſſidué ſuſpicere audēt, niſi diviniore quadam natura prædìti ſint, ejuſque radios tanquam aquilarum veri fœtus intueantur, neque ea quæ nefas eſt videre, poſſunt cernere, & quó magis contendunt, eo magis ſe id aſſequi non poſſe oſtendunt: ſic qui ad te audet ſcribere, quó plus audere nititur, eó magis timēdum eſſe liquidó demōſtrat. Tibi veró, vir clariſſime, qui ad Græciā totam ſervandam,ut ita dicam, conſtitutus es,cōſentaneum erat & ad nos crebras literas mittere, & noſtram deſidiam inertiamque,quātum poſſes,coërcere. Nam quemadmodum Sol (ut iterum ex eodem Deo ad te ſimilitudinem mea ducat oratio) ut, inquam, Sol cúm purus totus ac lucidus radiis collucet, non diſpiciens an quod lumini occurrit,ſit cōſentaneum,ſuum munus perficit: ſic te oportebat liberaliter bona tua,tanquam lucem, in univerſam Græciam effundere,neque eó deſiſtere, quód aliquis metu aut verecundia erga te impeditus,reſpondere tibi ſcribendo non audeat.

Neque

προεστήκει θαῤῥοῦντός ἐστι σωφρονέστερος. ὥσπερ γὰρ οἱ ταῖς ἡλίου μαρμαρυγαῖς ἀντιβλέπειν συνεχῶς τολμῶντες, ἂν μὴ θεῖοί τινες ὦσι, καὶ τῶν ἀκτίνων αὐτοῦ καθάπερ οἱ τῶν ἀετῶν γνήσιοι καθορῶσιν, οὔτε ἃ μὴ θέμις ὀφθῆναι, θεωρεῖν ἔχουσι, καὶ ὅσῳπερ μᾶλλον φιλονεικοῦσι, τοσούτῳ πλέον ὅτι μὴ δυνῶνται τυχεῖν, ἐμφαίνουσιν. οὕτω καὶ ὁ πρός σε γράφειν τολμῶν, ὅσῳπερ ἂν ἐθέλῃ θαῤῥεῖν, τοσούτῳ μᾶλλον, ὅτι χρὴ δεδιέναι, καθαρῶς δείκνυσι. σοί γε μὴν ὦ γυναῖε, παντὸς, ὡς εἰπεῖν, τοῦ ἑλληνικοῦ σωτῆρι καθεστῶτι, πρέπον ἦν ἀφθόνως τε ἡμῖν γράφειν, καὶ τὸν παρ' ἡμῖν ὄκνον, ἐφ' ὅσον ἐξῆν, καταστέλλειν. ὥσπερ γὰρ ὁ ἥλιος· ἵνα δὴ πάλιν ἐκ τοῦ θεοῦ πρός σε τὴν εἰκόνα λάβῃ ὁ λόγος. ὁ δ' οὖν ἥλιος, ὥσπερ ὅταν ἀκτῖσι καθαρθεὶς ὅλος λάμπῃ, οὐδὲ ἀποκρίνῃ τῆς πρὸς τὴν αἴγλην ἐλθόντος, ὃ μὴ τὸ οἰκεῖον, ἐργάζεται. οὕτω δὴ καί σε χρὴν ἀφθόνως τῶν παρὰ σοῦ καλῶν, οἷον φωτὸς, τὸ ἑλληνικὸν ἐπαρδεύοντα, μὴ ἀποκνεῖν, εἴ τις ἢ αἰδοῦς ἢ δέους ἕνεκα τοῦ πρός σε, τὴν ἀντίδοσιν δυσωπεῖται.

ται. οὐδὲ γὰρ ὁ Ἀσκληπιὸς ἐπ' ἀμοιβῆς ἐλπίδι τοὺς ἀνθρώπους ἰᾶται, ἀλλὰ τὸ οἰκεῖον αὐτοῦ φιλανθρώπευμα, καθάπερ μάθημα, πανταχοῦ πληροῖ. ὃ δὴ καί σε χρὴ ὥσπερεὶ ψυχῶν ἐλλογίμων ἰατρὸν ὄντα ποιεῖν, καὶ τὸ τῆς ἀρετῆς παράγγελμα διὰ πάντων σώζειν. οἷον ἀγαθὸν τοξότην, ὃς κἂν μὴ τὸν ἀντίπαλον ἔχῃ, πάντως ἐς τὸ καίριον ἀεὶ τὴν χεῖρα γυμνάζει. ἐπεὶ μηδὲ ὁ σκοπὸς ἑκατέροις ὁ αὐτὸς, ἡμῖν τε τῶν παρά σου δεξιῶν τυχεῖν, καί σε τοῖς παρ' ἡμῶν διδομένοις ἐντυχεῖν. ἀλλ' ἡμεῖς κἂν μυριάκις γράφωμεν, ἴσα τοῖς Ὁμηρικοῖς παισὶ παίζομεν, οἱ παρὰ τὰς θῖνας ὅτι ἂν ἐκ πηλοῦ πλάσωσιν, ἀφιᾶσιν αἰγιαλῷ κλύζεσθαι. παρά σου δὲ καὶ μικρὸν γράμμα παντὸς ἐστὶ γονίμου ῥεύματος κρεῖττον. καὶ δεξαίμην ἂν ἔγωγε Ἰαμβλίχου μᾶλλον ἐπιστολὴν μίαν, ἢ τὸν ἐκ Λυδίας χρυσὸν κεκτῆσθαι. εἰ δὲ μέλει τί σοι τῶν ἐραστῶν τῶν σῶν· μέλει δ' εἰ μὴ σφάλλομαι· μὴ περιίδῃς ὥσπερ νεοττοὺς ἡμᾶς ἀεὶ τῶν παρά σου τροφῶν ἐν χρείᾳ τυγχάνοντας· ἀλλὰ καὶ γράφε συνε-

χῶς,

Neque enim Aeſculapius mercedis ſpe homines curat,ſed humanitatem ſuam, tanquam diſciplinam aliquam in omnes homines explicat. Idem te facere oportuit, cúm ſis animorum ſtudioſorum medicus, & omnibus in rebus virtutis præceptum ſervare: ut bonus ſagittarius, qui tametſi adverſarium non habeat, tamen ſemper manum exercet, ut opportuno tempore ea utatur. Nam neque ſcopus utrique noſtrum idẽ eſt, ut nos videlicet tuis eruditis ſcriptis fruamur, & tu noſtra legas: ſed nos quanvis millies ſcribamus, ſimiliter ut Homerici pueri ludimus, qui juxta littora quicquid é luto finxerunt, arena obrui ſinunt: cum interim tua licet parva epiſtola cuivis fertili fluvio anteponenda ſit. Ac ſané epiſtolam unam Iamblichi malim, quám totũ Lydium aurũ poſſidere. Quód ſi amatorum tuorum ulla tibi cura eſt,(eſt autem aliqua, niſi fallor)ne nos quaſi pullos negligas, qui cibo tuo magnopere egemus:ſed ſcribe

 aſſidué,

aſſiduè, neque tuis bonis paſcere nos deſine. Quòd ſi forté officio defuerimus, ipſe utrũque munus præſtato, tum ad nos, tum pro nobis viciſsim ſcribendo. Etenim Mercurii facundi diſcipulum aut etiam alumnum, qualis tu es, virga uti decet non ad ſomnum inducendum, ſed ad movendum & excitandum, atque hac ex parte maximé illum imitari.

EIDEM.

Mittit ad Iãblichũ quaſdã orationes.

Oportebat ſané juxta Delphicum oraculum nos ipſos noſſe, neque tãti viri auribus obſtrepere: quem vel aſpicientem reſpicere, difficile eſt, nedum concentum omnis ſapientiæ moventi velle par referre. Nã & Pani dulce carmen canenti quilibet concéſſerit, quanvis ſit Ariſtæus: & Apolline ad citharam canente unuſquiſque tacet, quanvis Orphei muſicam teneat. Quod enim minus eſt, hoc ipſo quód eſt minus, cedere debet majori, ſi modó vult & ſua ipſius bona, & aliena meliora cognoſcere. Quiſquis autem cum divina muſica huma-

χῶς, καὶ τοῖς παρὰ σαυτοῦ καλοῖς ἐστιν μὴ κατόκνει. κἂν ἐλλίπωμεν, αὐτὸς ἑκατέρου τὴν χρείαν οἰκείου, καὶ ὧν δίδως, καὶ ὧν ἀνθ' ἡμῶν τὸ ἴσον πρεσβεύεις. πρέπει δὲ Ἑρμοῦ λογίου μαθητὴν, εἰ δὲ βούλει τρόφιμον ὄντα σε μαθητὴν ἐκείνου, ῥάβδον οὐκ ἐν τῷ καθεύδειν ποιεῖν, ἀλλ' ἐν τῷ κινεῖν καὶ διεγείρειν μᾶλλον ἐθέλειν μιμεῖσθαι.

Τῷ αὐτῷ.

Ἐχρῆν μὲν ἡμᾶς τῷ γράμματι πειθομένους τῷ Δελφικῷ γινώσκειν ἑαυτοὺς, καὶ μὴ τολμᾶν ἀνδρὸς ἀκοαῖς τοσούτου καταθαρσεῖν· ᾧ καὶ ὀφθέντι μόνον ἀντιβλέψαι δυσχερὲς, ἥπου τὴν πάνσοφον ἁρμονίαν κινοῦντι πρὸς τὸ ἴσον ἐλθεῖν. ἐπεὶ καὶ Πανὶ μέλος λιγυρὸν ἠχοῦντι, πᾶς ὅστις ἐκσταίη, κἂν Ἀρισταῖος ἦ, καὶ Ἀπόλλωνι πρὸς κιθάραν ψάλλοντι, πᾶς ὅστις ἠρεμεῖ, κἂν τὴν Ὀρφέως μουσικὴν εἰδείη. τὸ γὰρ ἧττον τῷ κρείττονι, καθόσον ἧττόν ἐστιν, εἴκοι ἂν δικαίως, εἰ μέλλει τό, τε οἰκεῖον, καὶ τὸ οὐ χεῖρον, τί ἐστι γινώσκειν. ὅστις δὲ ἐνθέσμῳ μουσικῇ θνητοῦ ἐναρμόσαι μέλος ἤλπισεν,

οὐκ ἔμαθέ που τὸ Μαρσύου τοῦ Φρυγὸς πάθος, οὐδὲ τὸν ὁμώνυμον ἐκείνῳ ποταμὸν, ὃς μανέντως αὐλητοῦ ἐπωνυμίαν φέρει· ἀλλ' οὐδὲ τὴν Θαμύριδος τοῦ Θρᾳκὸς τελευτὴν ἤκουσεν, ὃς ταῖς μούσαις οὐκ εὐτυχῶς ἀντεφθέγξατο. τί γὰρ δεῖ τὰς Σειρῆνας λέγειν, ὧν ἔτι τὸ πτερὸν ἐπὶ τοῦ μετώπου φέρουσιν αἱ νικήσασαι. ἀλλ' ἐκείνων μὲν ἕκαστος ἀμούσου τόλμης ἀρκοῦσαν ἔτι καὶ νῦν ἐκτίνει τῇ μνήμῃ δίκην· ἡμᾶς δὲ ἔδει μὲν, ὡς ἔφην, εἴσω τῶν οἰκείων ὅρων ἑστάναι, καὶ τὸ ὑπὸ σοῦ μουσικῆς ἐμφορουμένους ἠρεμεῖν, ὥσπερ οἱ τὴν Ἀπόλλωνος μαντείαν ἐξ ἀδύτων ἱερῶν προσιοῦσαν ἡσυχῇ δέχονται. ἐπεὶ δ' αὐτὸς ἡμῖν τοῦ μέλους τὸ ἐνδόσιμον μηνύεις, καὶ οἷον Ἑρμοῦ ῥάβδῳ κινεῖς καὶ διεγείρεις καθεύδοντας, φέρε σοι καθάπερ οἱ τῷ Διονύσῳ τὸν θίασον κρούοντι πρὸς τὴν χορείαν ἄνετοι φέρονται. οὕτω καὶ ἡμεῖς ὑπὸ τῷ σῷ πλήκτρῳ τὸ εἰκὸς ἀντηχήσωμεν. ὥσπερ οἱ τῷ χοροστάτῃ πρὸς τὸ ἀνάκλημα τοῦ ῥυθμοῦ συνομαρτοῦντες. καὶ πρῶτόν σοι τῶν λόγων, οἷς βασιλεῖ κελεύοντι, πρὸς τὴν ἀοίδι-

humanam vult componere, nunquam Marſyæ Phrygis caſum didicit, neque nominis ejuſdem fluvium, qui tibicinis inſani ſupplicio manat: imó neq; Thamyræ Thracis mortem audivit, qui infeliciter cum muſis de cantu certavit. Quid enim Sirenas memorem? quarum eæ quæ cantu vicerunt, alam in fronte adhuc geſtāt. Verúm enimveró illi ſtultæ audaciæ pœnas ſatis magnas nunc etiam poſteritati perſolvunt: nos autem ſicut anté dixi, oportebat ſané noſtris finibus contentos eſſe, & tua muſica ſatiatos quieſcere, ut qui Apollinis oracula é ſacris adytis cum ſilentio excipiunt. Verúm quando tu nobis ad canendum præis, & tanquam Mercurii virga nos moves atque excitas dormientes, ecce ipſi quoque, ſicut qui Baccho thyaſum pulſanti cum choreis & tripudiatione occurrunt, ſic ad plectrum tuum reſpōdemus: perinde ut qui præſultorem ad numeri provocationem ſequuntur. Accipies igitur primum, quando ita vis, orationes, quas nuper Imperatoris juſſu,

Aelian. lib. 17. cap. 23.

in nobilem illam freti conjunctionem elaboravi. Parvum certé munuſculum, ſi cum tuo conferatur, omninoque æs pro auro reddimus: ſed tamen quo poſſumus munere noſtrũ Mercurium proſequimur. Theſeus quidem certé menſam Hecales, licet tenuem, nõ eſt aſpernatus: ſed neceſsitati obſecutus, exiguo contentus fuit. Pan ille Nomius non erubuit, cúm pueri bubulci fiſtulam ſuis labris admovit. Quare tu quoque librum noſtrum amico animo accipe, neque te pœniteat exiguo carmini magnã aurem præbere: ſed ſi quid erit boni, & liber felix eſt, & ejus auctor, ut cui Minerva ipſa teſtimonium laudis dederit: ſin extremam manum, quó perficiatur, deſiderat, ne ſit tibi grave, quod deeſt, addere. Sic olim ſagittario invocanti Deus affuit, & telum uná direxit: Sic citharœdo Orthium canenti, cum nervus deficeret, Apollo ipſe cicadæ ſpecie reſpondit.

οἴδιμον τοῦ πορθμοῦ ζεῦξιν ἔναγχος ἐξειργασάμεθα, ἐπειδὴ τοῦτό ἐστι δοκοῦν, ἀπαρξώμεθα, μικρὰ μὲν ἀντὶ μεγάλων τοῖς παρά σου, καὶ τῷ ὄντι χαλκὸν χρυσοῦ ἀντιδιδόντες· οἷς δὲ ἔχομεν ξενίοις τὸν Ερμῆν τὸν ἡμέτερον ἑστιῶντες. πάντως οὐδὲ ὁ Εκάλης ὁ Θησέως τοῦ δείπνου τὸ λιτὸν ἀπηξίωσεν· ἀλλ᾽ ἤδη καὶ μικροῖς ἐς τὸ ἀναγκαῖον ἀρκεῖσθαι. ὁ Πὰν δὲ ὁ νόμιος τοῦ παιδὸς τοῦ βουκόλου τὴν σύριγγα προσαρμόσαι τοῖς χείλεσιν οὐκ ἠτίμασεν. πρόσου δὴ καὶ αὐτὸς τὸν λόγον εὐμενεῖ νεύματι, καὶ μὴ ἀποκνήσῃς ὀλίγῳ μέλει μεγάλην ἀκοὴν ἐνδοῦναι· ἀλλ᾽ ἐὰν μὲν ἔχῃ τι δεξιὸν, αὐτός τε ὁ λόγος εὐτυχεῖ, καὶ ὁ ποιητὴς αὐτοῦ τὴν παρὰ τῆς Αθηνᾶς ψῆφον τὴν μαρτυρίαν προσλαβών. εἰ δ᾽ ἔτι χρεὸς ἐντελοῦς εἰς τὸ τοῦ ὅλου πλήρωμα προσδεῖται, μὴ ἀπαξιώσῃς αὐτὸς τὸ ἐνδέον προσθεῖναι. ἤδη που καὶ ἀνδρὶ τοξότῃ κληθεὶς ὁ θεὸς παρέστη, καὶ συνεφήψατο τοῦ βέλους, καὶ κιθαρῳδῷ τὸν ὄρθιον ᾄδοντι, πρὸς τὸ ἐλλεῖπον τῆς χορδῆς, ὑπὸ τῷ τέττιγι τὸ ἴσον ὁ Πύθιος ἀντεφθέγξατο.

Παιδείαν ὀρθὴν εἶναι νομίζομεν, οὐ τὴν ἐν τοῖς ῥήμασιν, οὐδὲ τῇ γλώττῃ πολυτελῆ εὐρυθμίαν· ἀλλὰ διάθεσιν ὑγιῆ νοῦν ἐχούσης διανοίας, καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν τε καὶ κακῶν, καλῶν τε καὶ αἰσχρῶν. ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ ἕτερα τοὺς πλησιάζοντας, αὐτὸς ἀπολελεῖφθαι δοκεῖ τοσούτῳ παιδείας, ὅσῳ καὶ τοῦ χρηστὸς ἀνὴρ εἶναι. καὶ εἰ μὲν ἐπὶ σμικροῖς εἴη τὸ διάφορον τῆς γνώμης πρὸς τὴν γλῶτταν, κακὸς μὲν εἰς τόδε, ὅμως τῷ ποσῷ γίνεται. εἰ δὲ ἐν τοῖς μεγίστοις ἄλλο μὲν φρονοίη τις, ἐπ' ἐναντίον δὲ ὧν φρονεῖ, διδάσκει, πῶς οὐ τοῦτο ἐκεῖνο καπήλων ἐστὶν, οὔ τι χρηστῶν, ἀλλὰ παμπονήρων βίος ἀνθρώπων; οἳ μάλιστα παιδεύουσιν, ἃ μάλιστα φαῦλα νομίζουσιν, ἐξαπατῶντες καὶ δελεάζοντες τοῖς ἐπαίνοις, εἰς οὓς μεταθεῖναι τὰ σφέτερα ἐθέλουσιν, οἶμαι, κακά. πάντας μὲν οὖν χρὴ τοὺς καὶ ὁπωσοῦν διδάσκειν ἐπαγγελλομένους, εἶναι τὸν τρόπον ἐπιεικεῖς, καὶ μὴ μαχόμενα τοῖς δημοσίᾳ μεταχειρίζοντας τὰ ἐν τῇ ψυχῇ φέρειν δοξάσματα· πολὺ δὲ

πλέον

Doctrinam rectã eſſe arbitramur,non verborum linguæve magnificum & exquiſitum ſonum:ſed mentis bene cõſtitutæ ſanam affectionem, & veras certaſque de bonis & malis, honeſtis & turpibus ſententias. Quare quiſquis aliud ſentit, aliud ſuos diſcipulos docet, is tantum videtur á ſcientia, quantum á probitate abeſſe. Ac ſi de parva re ſit linguæ animique diſſenſio, in hoc ipſo etiam eſt improbus, tametſi modum nõ excedat ſceleris magnitudo: ſin veró in maximis rebus aliud ſentit, contraque ac ſentit,docet, nónne hæc cauponum, non dico bonorum,ſed nequiſſimorum vita eſt? quippe cúm id maximé doceant, quód maximé malum exiſtimant, fallentes atque ineſcantes eos laudibus, quibuſcum ſua, ut arbitror, mala commutare volũt. Quamobrem omnes qui quidvis docere profitentur,bonis moribus eſſe debent,neque opiniones novas & á ſenſu populari abhorrentes afferre: ſed

Interdicit Chriſtianis profeſſoribus lectione Græcorum authorum.

Allegoria á cauponibus, qui cibos corruptos et malos condiunt, ut vendant.

ſed imprimis tales eſſe debent, qui adoleſcentes in veterum ſcriptis inſtituunt, ſive ſint Rhetores, ſive Grammatici, & præcipué Sophiſtæ, qui non ſolúm verborum, ſed etiam morum magiſtros ſe eſſe volunt, & ad ſe philoſophiam de adminiſtrandis Rebuſp. pertinere contendunt. Hoc verum ſit, nécne, in præſentia omitto: laudo eos, quód doctrinam tam præſtantem expetant: plus certé laudaturus, ſi non mentirentur, neque ſeipſi refellerent, dum aliud ſentiunt, aliud diſcipulis tradunt. Quid? Homerus, Heſiodus, Demoſthenes, Herodotus, Thucidides, Iſocrates, Lyſias, deos habent doctrinæ ſuæ duces & authores. Nónne eorum alii Mercurio, alii Muſis ſacros ſe eſſe arbitrabantur? Quare abſurdum eſt, qui horum libros exponunt, deos vituperare, quos illi coluerunt. Neque tamen quia id abſurdum puto, iccircó eos diſcipulorũ cauſſâ ſententiam mutare jubeo: verúm do optionem, ut ne doceant, quæ non bona eſſe cenſent: ſin docere malunt, doceãt

reipſa

πλέον ἁπάντων οἶμαι δεῖν εἶναι τούτοις, ὅσοι ἐπὶ νέοις τοῖς λόγοις συγγίνονται, τῶν παλαιῶν ἐξηγηταὶ γινόμενοι συγγραμμάτων, εἴτε ῥήτορες, εἴτε γραμματικοὶ, καὶ ἔτι πλέον οἱ σοφισταί. βούλονται γὰρ πρὸς τοῖς ἄλλοις οὐ λέξεων μόνον, ἠθῶν δὲ εἶναι διδάσκαλοι. καὶ τὸ κατὰ σφᾶς εἶναί φασι τὴν πολιτικὴν φιλοσοφίαν. εἰ μὲν οὖν ἀληθὲς ἢ μὴ, τοῦτο ἀφείσθω νῦν. ἐπαινῶν δὲ αὐτοὺς οὕτως ἐπαγγελμάτων καλῶν ὀρεγομένους, ἐπαινέσαιμ' ἂν ἔτι πλέον, εἰ μὴ ψεύδοιντο, μήδ' ἐξελέγχοιεν αὑτοὺς, ἕτερα μὲν φρονοῦντες, διδάσκοντες δὲ τοὺς πλησιάζοντας ἕτερα. τί οὖν; Ομήρῳ μέντοι καὶ Ησιόδῳ καὶ Δημοσθένει μέντοι καὶ Ηροδότῳ, καὶ Θουκυδίδῃ, καὶ Ισοκράτει, καὶ Λυσίᾳ θεοὶ πάσης ἡγοῦνται παιδείας. οὐχ οἱ μὲν Ερμοῦ σφᾶς ἱερεὺς, οἱ δὲ Μουσῶν ἐνόμιζον; ἄτοπον μὲν οἶμαι τοὺς ἐξηγουμένους τὰ τούτων, ἀτιμάζειν τοὺς ὑπ' αὐτῶν τιμηθέντας θεούς. οὐ μὴν ἐπειδὴ τοῦτο ἄτοπον οἶμαι, φημὶ δεῖν αὐτοὺς μεταθεμένους τοῖς νέοις. σὺνδίδωμι δὲ αἵρεσιν, μὴ διδάσκειν ἃ μὴ νομίζουσι σπουδαῖα· βουλομένους δὲ, διδάσκειν ἔργῳ

πρῶτον,

πρότερον, καὶ πείθειν τοὺς μαθητάς, ὡς οὔτε Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε τούτων τις, οὓς ἐξηγοῦνται καὶ κατεγνωκότες εἰσὶν ἀσέβειαν, ἄνοιάν τε, καὶ πλάνην εἰς τοὺς θεούς, τοιοῦτός ἐστιν. ἐπεὶ δ' ἐκεῖνοι ἐξ ὧν γεγράφασι παρατρέφονται μισθαρνοῦντες, εἶναι ὁμολογοῦσιν αἰσχροκερδέστατοι, καὶ δραχμῶν ὀλίγων ἕνεκα πάντως ὑπομένειν. ἕως μὲν οὖν τούτου πολλὰ ἦν τὰ αἴτια τοῦ μὴ φοιτᾶν εἰς τὰ ἱερά· καὶ ὁ πανταχόθεν ἐπικρεμάμενος φόβος ἐδίδου συγγνώμην ἀποκρύπτεσθαι τὰς ἀληθεστάτας περὶ τῶν θεῶν δόξας. ἐπειδὴ δὲ ἡμῖν οἱ θεοὶ τὴν ἐλευθερίαν ἔδοσαν, ἄτοπον εἶναί μοι φαίνεται διδάσκειν ἐκεῖνα τοὺς ἀνθρώπους, ὅσα μὴ νομίζουσιν εὖ ἔχειν. ἀλλ' εἰ μὲν οἴονται σοφὰ ὧν εἰσιν ἐξηγηταί, καὶ ὧν ὥσπερ προφῆται κάθηνται, ζηλούτωσαν αὐτῶν πρότερον τὴν εἰς τοὺς θεοὺς εὐσέβειαν. εἰ δὲ εἰς τοὺς τιμιωτάτους ὑπολαμβάνουσι πεπλανῆσθαι, βαδιζόντων εἰς τὰς τῶν Γαλιλαίων ἐκκλησίας, ἐξηγησόμενοι Ματθαῖον καὶ Λουκᾶν· οἷς πειθέντες, ἱερείων ὑμεῖς ἀπέχεσθαι νομοθετεῖτε.

βούλο-

reipſa primum, & perſuadeant diſcipulis, neque Homerum, neque Heſiodum, neque quenquam eorum quos interpretati ſunt, quoſque impietatis, amentiæ, & erroris erga deos condemnarunt, talem eſſe. Nam alioqui cúm ex illorum ſcriptis alantur, mercedemque capiant, avariſſimos plané & ſordidiſſimos ſe fatentur, ſi paucis drachmis id facere ſuſtineant. Atque hactenus quidem multa erant, quæ eos templorum aditu prohiberent: & timor undique impendens excuſabat, quo minus veriſſimæ de diis ſententiæ explicarentur. Nunc autem cúm deorum munere atque conceſſu libertate potiamur, abſurdum mihi videtur ea homines docere, quæ non bona eſſe arbitrentur. Quód ſi in iis quæ docent, & quorum quaſi interpretes ſedent, ſapientiam eſſe ullam arbitrantur, ſtudeant primúm illorum in deos pietatem imitari. Sin in deos ſanctiſſimos putant ab illis authoribus peccatum eſſe, eant in Galilæorum eccleſias, ibique Matthæum & Lucam interpretentur: quibus vos obtemperantes, á ſacris abſtinere jubetis. Cupio

ego

ego & aures & linguam veſtram (ſicut vos loqueremini) renaſci in iis rebus, quarum utinam & ego ſim ſemper particeps,& omnes qui me diligũt. Doctoribus quidẽ & præceptoribus cõmunis hæc lex ſtatuatur. Adoleſcẽtes enim qui ire volent,minimé prohibentur. Iniquũ ſiquidem fuerit, pueros adhuc ignaros quó ſe vertant, ab optima via rejicere, ac metu coactos ad patria inſtituta deducere. Quanquam autem verum erat iſtos tanquam impotentes & inſanos etiam invitos ac repugnantes curare: attamen liceat omnibus per nos iſto morbo detineri. Docere enim amentes, nõ punire opus eſt.

ECEBOLO.

Edictum in Edeſſenos.

Equidem de Galilæis omnibus adeó clemẽter & humaniter ſtatui,ut nemini vis inferatur, neque in templũ trahatur, neque alia de re ulla præter volũtatem ſuã contumelia afficiatur. At qui ſunt de Eccleſia Arianorũ, luxuriantes opibus,

Vide Sozomenũ lib. 6. cap. 34.

βούλομαι ὑμῶν ἐγὼ καὶ τὰς ἀκοάς, ὡς ἂν ὑμεῖς εἴποιτε, καὶ τὴν γλῶτταν ἐξαναγεννηθῆναι τούτων, ὧν ἔμοιγε εἴη μετέχειν ἀεί, καὶ ὅστις ἐμοὶ φίλα νοεῖ τε καὶ πράττει. τοῖς μὲν καθηγεμόσι καὶ διδασκάλοις οὑτοσὶ κοινὸς κεῖται νόμος. ὁ βουλόμενος γὰρ τῶν νέων φοιτᾶν, οὐκ ἀποκέκλεισται. οὐδὲ γὰρ οὐδὲ εὔλογον ἀγνοοῦντας ἔτι τοὺς παῖδας ἐφ᾽ ὅ,τι τρέπωνται, τῆς βελτίστης ἀποκλείειν ὁδοῦ, φόβῳ δὲ καὶ ἄκοντας ἄγειν ἐπὶ τὰ πάτρια. καίτοι δίκαιον ἦν ὥσπερ τοὺς φρενιτίζοντας, οὕτω καὶ τούτους ἄκοντας ἰᾶσθαι. πλὴν ἀλλὰ συγγνώμην ὑπάρχειν ἅπασι τῆς τοιαύτης νόσου. καὶ γάρ, οἶμαι, διδάσκειν, ἀλλ᾽ οὐχὶ κολάζειν χρὴ τοὺς ἀνοήτους.

Ἐκηβόλῳ.

Ἐγὼ μὲν κέκρικα τοῖς Γαλιλαίοις ἅπασιν οὕτω πράως καὶ φιλανθρώπως, ὥστε μηδένα μηδαμοῦ βίαν ὑπομένειν, μηδὲ εἰς ἱερὸν ἕλκεσθαι, μηδ᾽ εἰς ἄλλο τι τοιοῦτον ἐπηρεάζεσθαι παρὰ τὴν οἰκείαν πρόθεσιν. οἱ δὲ τῆς Ἀρειανικῆς ἐκκλησίας ὑπὸ τοῦ πλούτου τρυφῶντες,

φάντες, ἐπεχείρησαν τοῖς ἀπὸ τοῦ Οὐαλεντίνου, καὶ τετολμήκασι τοσαῦτα κατὰ τὴν Ἔδεσσαν, ὅσα οὐδέποτε ἐν εὐνομουμένῃ πόλει γένοιτ' ἄν. ἐπεὶ οὖν αὐτοῖς ὑπὸ τοῦ θαυμασιωτάτου νόμου προείρηται, ἵν' εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εὐοδώτερον πορευθῶσι, πρὸς τοῦτο συναγωνιζόμενοι τοῖς ἀνθρώποις, αὐτῶν τὰ χρήματα τῆς Ἐδεσσηνῶν ἐκκλησίας ἅπαντα ἐκελεύσαμεν ἀναληφθῆναι, δοθησόμενα τοῖς στρατιώταις, καὶ τὰ κτήματα τοῖς ἡμετέροις προστεθῆναι πριβάτοις. ἵνα πενόμενοι σωφρονῶσι, καὶ μὴ στερηθῶσιν ἧς ἔτι ἐλπίζουσιν, οὐρανίου βασιλείας. τοῖς οἰκοῦσι δὲ τὴν Ἔδεσσαν παραγγέλλομεν ἀπέχεσθαι πάσης στάσεως καὶ φιλονεικίας, ἵνα μὴ τὴν ἡμετέραν φιλανθρωπίαν κινήσαντες, καθ' ὑμῶν αὐτῶν ὑπὲρ τῆς τῶν κοινῶν ἀταξίας δίκην τίσητε, ξίφει καὶ φυγῇ καὶ πυρὶ ζημιωθέντες.

Λιβανίῳ.

Ἄρτι μοι παυσαμένῳ τῆς χαλεπῆς πάνυ καὶ ταχείας νόσου τῇ τοῦ πάντα ἐφορῶντος προ-

opibus,in Valentinianos invaſerunt,eaque apud Edeſſam perpetrarunt, quæ nunquam in civitate bene inſtituta accidiſſent. Quare quod ipſis á lege admirabili imperatum eſt, quó faciliús in regnum cælorum veniant,nos ad id hominibus opem tulimus, eorumque pecunias omnes ab Edeſſenorum Eccleſia tolli juſſimus, ut militi dividantur, & facultates, ut noſtris privatis attribuantur: quó illi pauperes facti ſapiant, neque regno cæleſti, quod nunc etiam ſperant,priventur. Iis autem qui Edeſſam incolunt,edicimus,ut ſeditione pugnaque omni abſtineant, ne ſi noſtram humanitatem cõmoverint, vos ipſi pro communi omnium intemperie ac inſolentia pœnas luatis,gladio, exilio, igne multati.

LIBANIO.

Nuper cúm é graviſſimo atque acerrimo morbo, numinis providentia,

recreatus eſſem, veſtras accepi literas, quo die primúm balneum intravi. Quas cúm veſperi legiſſem, dici non poteſt, quám ſim confirmatus, perſpecta tua ſincera puraque benevolentia: qua utinam dignus eſſem, ne dedecori ſim amicitiæ tuæ. Igitur ſtatim literas veſtras legi, quanvis id facere non admodum poſſem: quas autem Antonius ad Alexandrum mittebat, in poſterum diem reſervavi. Inde ad te ſeptimo die hæc ſcripſi, cúm mihi, Dei providentia, valetudo é ſententia procederet. Vale mihi optatiſsime & chariſsime frater.

ZENONI.

Zeno Medicus religionis cauſſa pulſus, ab exilio revocatur.

Cum multæ aliæ res teſtificãtur te ad ſummum Medicæ artis gradũ perveniſſe, eique parem morum ac vitæ temperãtiam adjunxiſſe: tum veró hoc tempore maximum omnium teſtimonium acceſsit, quód Alexandriam abſens univerſam in te convertis: tantum ei tuo deceſſu aculeum tanquam apis reliqui-

νοίᾳ, γράμματα εἰς χεῖρας ἦλθεν ὑμέτερα, καθ' ἣν ἡμέραν πρῶτον ἐλυσάμην. δείλης ἤδη ταῦτα ἀναγνοὺς, οὐκ ἂν εἴποις ῥαδίως ὅπως ἐῤῥωννύμην, αἰσθανόμενος τῆς σῆς ἀκραιφνοῦς καὶ καθαρᾶς εὐνοίας· ἧς εἴθε γενοίμην ἄξιος, ὡς ἂν μὴ καταισχύναιμι τὴν σὴν φιλίαν. τὰς μὲν οὖν ὑμετέρας ἐπιστολὰς εὐθὺς ἀνέγνων, καίπερ οὐ σφόδρα τοῦτο ποιεῖν δυνάμενος. τὰς δὲ τοῦ Αντωνίου πρὸς τὸν Αλέξανδρον, εἰς τὴν ὑστεραίαν ἐταμιευσάμην. ἐκεῖθεν ἑβδόμη σοι ταῦτα ἔγραφον ἡμέρα, κατὰ λόγον μοι τῆς ῥώσεως προχωρούσης διὰ τὴν τοῦ θεοῦ προμήθειαν. ἔῤῥωσό μοι ποθεινότατε καὶ φιλικώτατε ἀδελφέ.

Ζήνωνι.

Πολλὰ μὲν καὶ ἄλλα σοι μαρτυρεῖ καὶ τῆς ἰατρικῆς τέχνης εἰς τὰ πρῶτα ἀνήκειν, καὶ ἤθους, καὶ ἐπιεικείας, καὶ βίου σωφροσύνης συμφώνως πρὸς τὴν τέχνην ἔχειν· νῦν δὲ προσῆλθε τὸ κεφάλαιον τῆς μαρτυρίας· τὴν τῶν Αλεξανδρέων πόλιν ἀπιὼν ἐπιστρέφεις εἰς σεαυτόν. τοσοῦτον αὐτῇ κέντρον, ὥσπερ μέλιττα,

καταλέλοιπας. εἰκότως· καλῶς γὰρ εἰρῆσθαι καὶ Ὁμήρῳ δοκεῖ,

Εἷς ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

σὺ δὲ οὐκ ἰατρὸς ἁπλῶς, ἀλλὰ καὶ διδάσκαλος τοῖς βουλομένοις τῆς τέχνης· ὥστε σχεδὸν ὃ πρὸς τοὺς πολλούς εἰσιν οἱ ἰατροὶ, τοῦτο ἐκείνοις σύ. λύει δέ σοι τὴν φυγὴν καὶ ἡ πρόφασις αὐτὴ, καὶ μάλα λαμπρῶς. εἰ γὰρ διὰ γεωργίας μετέστης τῆς Ἀλεξανδρείας, οὐ δικαίως μετέστης, καὶ δικαιότατα ἂν ὀπίσω κατέλθοις. κάτιθι τοίνυν ἐπίτιμος καὶ τὸ πρότερον ἔχων ἀξίωμα· καὶ ἡμῖν κοινὴ πρὸς ἀμφοτέρους χάρις ἀντικείσθω, Ἀλεξανδρεῦσι μὲν Ζήνωνα, σοὶ δὲ ἀποδοῦσα τὴν Ἀλεξάνδρειαν.

Οὐ κλησείδιον μικρὸν ἀγρῶν τεττάρων δοχωιώτων λαβὼν παρὰ τῆς τήθης ἐν τῇ Βιθυνίᾳ, τῇ σῇ διαθέσει δῶρον δίδωμι. ἔλαττον μὲν ἢ ὥστε ἄνδρα εἰς περιουσίαν ὀνῆσαί τι μέγα καὶ ἀποφῆναι ὄλβιον. ἔχον δὲ ὡς οὐ παντάπασιν ἀτερπῆ τὴν δόσιν, εἴ σοι τὰ καθ' ἕ-

reliquiſti. Nec ſané immeritó. Præclaré enim Homerus,

Vir medicus par eſt multorum millibus unus.

Tu veró non tantúm medicus es, verúm etiam magiſter omnibus, qui ejus artis ſtudio ducũtur: ut propemodum quod medici ſunt populo, hoc ipſe ſis medicis. Hæc autem cauſſa te liberat exilio, & quidem magnificé. Nam ſi propter agri culturam Alexandria exceſſiſti, nõ jure exceſſiſti: juſtiſſimé autem reverti potes. Redi igitur cum honore & dignitate priſtina: nobis autem gratia ſit apud utrunque, & quia Zenonem Alexandrinis, & quia Zenoni Alexãdriam reſtituimus.

Prædium in Bithynia donatum amico cuipiam commendat.

Acceperam ab avia mea prædium in Bithynia nõ parvum, cúm in eo prædia quatuor eſſe videantur, idque tuo in me amori dono. Munus eſt profectó levius, quám ut eo quiſpiam poſſit vel de opum abundantia gloriari, vel beatum ſe prædicare: munus tamen non omninó injucundum, ſi tibi cuncta ejus

bona ſigillatim recenſeam. Nec ſané abſurdum ſit tecum, qui elegantiæ atque amœnitatis plenus es, jocari. Abeſt á mari ſtadia non amplius viginti, neque mercator aut nauta loquax & petulans loco illi obſtrepit. Sed tamen non propterea Nerei gratiam amittit: habet enim perpetuó piſcem recētem & palpitantem, & ſi domo in tumulum terræ aliquem prodieris, videbis mare Proponticum, atque inſulas & urbem nobiliſſimi regis nomine appellatam: neque interim in algulis & muſco, aut rebus aliis injucundis, quæ in littus atque arenas ejiciuntur, & feré non nominantur, verſabere: ſed in ſmilace & thymo, & herbis fragrantibus. Cúm veró magna attentione in librum incubueris, & oculos multa lectione defatigatos reficere voles, gratiſsimus erit maris & navium aſpectus. Mihi quidem adoleſcentulo portulus hic videbatur gratiſsimus, quia fontes habet non contemnendos, & balneum non invenuſtum, præterea hortum & arbores: cumque vir jam eſſem,

κασα περὶ αὐτοῦ διέλθοιμι. παίζειν δὲ οὐδὲν κωλύει πρός σε χαρίτων γέμοντα καὶ εὐμουσίας. ἀπῴκισται μὲν τῆς θαλάσσης σταδίους οὐ πλέον εἴκοσι, καὶ οὔτε ἔμπορος, οὔτε ναύτης ἐνοχλεῖ λάλος καὶ ὑβριστὴς τῷ χωρίῳ. οὐ μὴν ἀφῄρηται τὰς παρὰ Νηρέως χάριτας παντελῶς· ἔχει δὲ ἰχθὺν πρόσφατον ἀεὶ καὶ ἀσπαίροντα, καὶ ἐπί τινος ἀπὸ τῶν δωμάτων προελθὼν γηλόφου, ὄψει τὴν θάλατταν τὴν προποντίδα, καὶ τὰς νήσους, τήν τε ἐπώνυμον πόλιν τοῦ γενναίου βασιλέως, οὐ φυκίοις ἐφεστὼς καὶ βρύοις, οὐδὲ ἐνοχλούμενος ὑπὸ τῶν ἐκβαλλομένων εἰς τοὺς αἰγιαλοὺς, καὶ εἰς τὰς ψάμμους ἀτερπῶν πάνυ καὶ οὐδὲ ὀνομαζομένων ἐπὶ μικρόν· ἀλλ᾽ ἐπὶ σμίλακος καὶ θύμου, καὶ πόας εὐώδους. ἡσυχία δὲ πολλὴ κατακλινομένῳ εἰς τὸ βιβλίον ἀφορῶντι· εἶτα διαναπαύοντι τὴν ὄψιν, ἥδιστον ἐπιδεῖν εἰς τὰς ναῦς καὶ τὴν θάλατταν. τοῦτο ἐμοὶ μειρακίῳ κομιδῆ νέῳ θερίδιον ἐδόκει φίλτατον· ἔχει γὰρ καὶ πηγὰς οὐ φαύλας, καὶ λουτρὸν οὐκ ἀναφρόδιτον, καὶ κῆπον, καὶ δένδρα· ἀνὴρ δὲ ὢν

ἤδη, τὴν παλαιὰν ἐκείνην ἐπόθουν δίαιταν. καὶ ἦλθον πολλάκις, καὶ γέγονεν ἡμῖν οὐκ ἔξω λόγου ἡ συνουσία. ἔστι δὲ ἐνταῦθα καὶ γεωργίας ἐμῆς μικρὸν ὑπόμνημα, φυταλιὰ βραχεῖα, φέρουσα οἶνον εὐώδη καὶ ἡδὺν, οὐκ ἀναμένοντα τὶ παρὰ τοῦ χρόνου προσλαβεῖν· τὸν Διόνυσον ὄψει καὶ τὰς χάριτας. ὁ βότρυς δ᾽ ἐπὶ τῆς ἀμπέλου, καὶ ἐπὶ τῆς ληνοῦ θλιβόμενος, ἀπόζει τῶν ῥόδων. ὁ γλεῦκος δὲ ἐν τοῖς πίθοις ἤδη τοῦ νέκταρός ἐστιν ἀπορρὼξ Ὁμήρῳ πιστεύοντι. τί δῆτα οὐ πολὺ γέγονεν, οὐδ᾽ ἐπὶ πλέθρα πάνυ πολλὰ τοιούτων ἀμπέλων; τυχὸν δὲ οὐδὲ ἐγὼ γεωργὸς γέγονα πρόθυμος. ἀλλὰ ἐπεὶ ἐμοὶ νηφάλιος ὁ τοῦ Διονύσου κρατὴρ, καὶ ἐπὶ πολὺ τῶν νυμφῶν δέ ἐστιν, ὅσον εἰς ἐμαυτὸν καὶ τοὺς φίλους· ὀλίγον δέ ἐστι τὸ χρῆμα τῶν ἀνδρῶν παρεσκευασάμην. νῦν δέ σοι δῶρον αὖ φίλη κεφαλὴ δίδωμι. μικρὸν μὲν ὅσον ἐστί. χάριεν δὲ φίλῳ παρὰ φίλου, οἴκοθεν οἴκαδε, κατὰ τὸν σοφὸν ποιητὴν Πίνδαρον. τὴν ἐπιστολὴν ἐπισύρων πρὸς λύχνον γέγραφα· ὥστε εἴ τι ἡμάρτηται, μὴ πικρῶς ἐξετα-

ἐξετα-

ſem eadem loci illius cupiditate tenebar. Itaque perſæpe illuc veni, neque mihi præter rem fuit loci cõgreſſus. Eſt etiam illic agriculturæ meæ monumentum exiguum, parva quædã vinea, quæ vinum fert ſuave & odoriferum, neque temporis diuturnitate vitii quicquam aſſumit: denique Bacchum & Gratias videbis. Jam uva & cúm in vite adhuc pendet, & cúm in torculario premitur, odorem edit roſarum: muſtum veró in doliis jam nectaris eſt liquor, ſi Homero credimus. Quæres fortaſſe, quamobrẽ cúm tales eſſent vites, non tamen multó plura jugera eodem genere cõſeverim: Quoniam, inquam, neque ipſe fortaſſe valdé diligens agricola fui: deinde cúm ſobrius ſit mihi dilutuſque Bacchi calix, multumque jam illic eſſet nympharum, tantum vini comparavi, quantum mihi & amicis (quorum exiguus ſolet eſſe numerus) ſatis eſſe videretur. Nunc autem illud tibi, ó charum caput, iterum dono: exiguum certé, quicquid eſt: ſed tamen gratũ amico ab amico, domũ domo, ut ait ſapiẽs poëta Pindarus. Epiſtolã hanc raptim ad lucernam cõſcripſi. Quare ſi

quid

quid peccatum erit, ne ſeveré, neque ut rhetor in rhetorem inquiras.

Remittit partem debitorũ vectigalium.

Regi ad lucrũ ſpectãti difficilis veſtra poſtulatio videretur, neq; unquam paucorũ gratia publicis vectigalibus detrimentũ afferri pateretur. Verúm quia conſilium eſt noſtrum, non quamplurima é ſubditis colligere, ſed quamplurimum eis prodeſſe: iccircó vobis debita condonamus. Neque tamen omnia, ſed pars una vobis, altera militibus cedet: quæ quidem & ipſa maxima ex parte veſtra erit, cúm præſertim pacis & ſecuritatis veſtræ cauſſa impendatur. Quare uſque ad tertium tributum vobis remittimus quicquid é præterito tempore deſiderátur: deinceps autem ſoluetis, ſicut conſuetudo poſtulat. Nam & quæ vobis dedimus, ſatis multa ſunt: neque nobis Reipub. rationes ſunt negligendæ. Hac de re ad præfectos ſcripſi, ut beneficium vobis verbo datum, re perſolvatur.

Cum

ἐξέταζε, μηδ' ὡς ῥήτωρ ῥήτορα.

Βασιλεῖ μὲν πρὸς κέρδος ὁρῶντι χαλεπὸν ἂν ὑμῶν ἐφάνη τὸ αἴτημα, καὶ οὐκ ἂν ᾠήθη δεῖν τὴν δημοσίαν εὐπορίαν βλάπτειν τῇ πρός τινας ἰδίᾳ χάριτι. ἐπεὶ δὲ ἡμεῖς οὐχ ὅτι πλεῖστα παρὰ τῶν ὑπηκόων ἀθροίζειν πεποιήμεθα σκοπὸν, ἀλλ' ὅτι πλείστων ἀγαθῶν αὐτοῖς αἴτιοι γίγνεσθαι, τοῦτο καὶ ὑμῖν ἀπολύσει τὰ ὀφλήματα. ἀπολύσει δὲ οὐχ ἁπλῶς ἅπαντα, ἀλλὰ μερισθήσεται τὸ πρᾶγμα, τὸ μὲν εἰς ὑμᾶς, τὸ δὲ εἰς τὴν τῶν στρατιωτῶν χρείαν· ἐξ ἧς οὐκ ἐλάχιστα καὶ αὐτοὶ δήπου φέρεσθε, τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν. τοιγαροῦν μέχρι μὲν τῆς τρίτης ἐπινεμήσεως ἀφίεμεν ὑμῖν πάντα, ὅσα ἐκ τοῦ φθάνοντος ἐλλείπει χρόνου· μετὰ ταῦτα δὲ εἰσοίσετε, κατὰ τὸ ἔθος. ὑμῖν τε γὰρ ἀφιέμενα, χάρις ἱκανή· καὶ ἡμῖν τῶν κοινῶν οὐκ ἀμελητέον. περὶ τούτου καὶ τοῖς ἐπάρχοις ἐπέσταλκα, ἵν' ἡ χάρις ὑμῖν εἰς ἔργον προχωρήσῃ.

Πάντων μὲν ἕνεκά μοι τὸ σῶμα διάκειται μετρίως· οὐ μὴν ἀλλὰ καὶ τὰ τῆς γνώμης ἔχει καλῶς. οἶμαι δή ἐγὼ τούτου προοίμιον εἶναι μηδὲν κρεῖττον ἐπιστολῇ φίλῳ παρὰ φίλου πεμπομένη. τίνος οὖν ἐστὶ τὸ προοίμιον; αἰτήσεως οἶμαι. τίς δὲ ἡ αἴτησις; ἐπιστολῶν ἀμοιβαίων· ἃς εἴη γε καὶ κατὰ διάνοιαν ὁμολογῆσαι ταῖς ἐμαῖς, αἴσια παρά σου ταῦτα πρὸς ἡμᾶς ἐξαγγελλούσας.

Τέλος τῶν Ἰουλιανοῦ ἐπιστολῶν.

Cum omnibus de cauſſis mihi corpus eſt in mediocri ſtatu valetudinis : tum veró animus recté ſe habet. Hoc procemio melius nullum eſſe poteſt epiſtolæ ab amico ad amicũ miſſæ. Quid eſt igitur in hoc procemio ? Petitio,ut opinor. Cujus tandem rei? Epiſtolarum mutuarum : quæ utinam ſententiam habeant cum meis congruentem, nobisque de te læta ac proſpera omnia renuntient.

FINIS EPISTOLARUM JULIANI.

ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ
τὸν αὐτοκράτορα.

Ῥωμαίων βασιλεύς τε μέγας, κρατερός τ' αἰχμητὴς,
Πολλὸν ἀριστεύσας πράγμασιν ἠδὲ λόγοις·
Ἱμερτὴν Χριστοῦ σοφίην καὶ ἱερὰ μυηθεὶς,
Ὤλετ' ἀφιστάμενος, κ' αὐτὰ δίωξε πάλιν.
Οὐκ ἔλαθέν, φασιν ὅγε, διάμπερες ὅστις ἀλιτρὸν
Εἶχε νόον, πάντως δ' ἐς τέλος ἐξεφάνη.

Γ. Μαρτίνδος.

Errata ſic corrige.

lege, Pag.	Lin.	
33.	10.	diſve oſculis.
80.	2.	ὅσην ἔδωκεν.
81.	3.	repugnante.
94.	8.	altera.